§ 5. τοὺς νόμους ἔλαβε,

ἤδη ἐχόντων αὐτῆς τὰ πολλά, εἰ μαχόμενοι ἐν Κορωνείᾳ καὶ νικήσαντες αὐτοὺς ἠλευθερώσαμεν τὴν Βοιωτίαν καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε παρέχοντες καὶ παρα-
6 σκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα.

1 63. Ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασό-
2 μεθα ἀποφαίνειν. ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατέ, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται. οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτοὺς καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέ-

ἔπειτα (β') ἐλέγχουσι τὰ πάλαι Πλαταιεῦσι πεπραγμένα, λέγοντες ὅτι οὐκ ἐπὶ τῇ σφετέρᾳ τιμωρίᾳ, ἀλλ' ἐπὶ τῷ ξυνεπιέναι ἄλλοις Ἀθηναίων ξύμμαχοι ἐγένοντο καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταποδιδόασι,

Cap. 63. § 2. ἐπάγεσθαι Chr. et Bekk. atque olim Cl. Vulgo et in ceteris libris male ὑπάγεσθαι, cum dicendum sit arcessere, advocare. Cf. § 4 et adn. I 3, 2 et Arn. ad VII 46.

ὑπάρχον γε T. I. M. Bekk. tacitusque apud hunc m. Vulgo soloece ὑπάρχον τε.

ἱκανή γε. Gr. ἱκανὴ γάρ, quod γάρ in Cass. rec. man. superscr. Exspectaverit forsitan quispiam, ut Reisk., ἢ ἱκανή γε; At cf. adn.

suas leges recepit. — ἐχόντων . . . τὰ πολλά. Post pugnam apud Oenophyta pugnatam. Vid. I 108, 2. — μαχόμενοι . . . Βοιωτίαν. Vid. I 113. — ἵππους παρέχοντες. Cf. II 9, 3. 22, 2.

Cap. 63. § 1. ἀξιώτεροι . . . ζημίας. Scholiasta etsi antea μᾶλλον explicavit μᾶλλον ἡμῶν, tamen hunc comparativum positivo reddit. Nimirum Thebani cum supra 62, 4 de sua civitate his verbis usi sint: οὐδ' ἄξιον αὐτῇ ὀνειδίσαι ὧν μὴ μετὰ νόμων ἥμαρτεν, hic se dignos poena confiteri non videntur posse. Solvendus ille comparativus in μᾶλλον ἄξιοι: vos potius quam nos digni estis poena. Cf. adn. II 40, 1.

§ 2. ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ad nos propulsandos. Cf. II 42, 4. VI 76, 3. Pronomen possessivum pro genetivo obiecti est. Cf. adn. I 33, 3. — πολῖται. Cf. adn. 55, 3. — ὑπάρχον. Cf. adn. I 124, 1. II 62, 1. Suppl. autem μὴ ξυνεπιέναι. De γέ cum participio iuncto cf. adn. IV 65, 4. — εἴ τι . . . προσήγεσθε. „Προσάγεσθαι etiam de eis dicitur, qui vi et inviti compelluntur ad aliquid faciendum. Thuc. III 63, 2 et VI 54, 3." Duk. ad VIII 106. Res hic aut pronomine τι expressa est, aut, cum hoc potius adverbialiter dictum videatur, mente repetendum ξυνεπιέναι. — ἐπὶ τῷ Μήδῳ, contra Medum. Cf. adn. I 40, 6. — ἱκανή γε ἦν. Particula γε sententias iungit hic et I 40, 4.

πειν καί, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι.
ἀλλ' ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι εἵλεσθε μᾶλλον
τὰ Ἀθηναίων. καὶ λέγετε ὡς αἰσχρὸν ἦν προδοῦναι 3
τοὺς εὐεργέτας· πολὺ δὲ γε αἴσχιον καὶ ἀδικώ-
τερον τοὺς πάντας Ἕλληνας καταπροδοῦναι, οἷς
ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους, τοὺς μὲν κατα-
δουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ ἐλευθεροῦντας.
καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε οὐδὲ 4
αἰσχύνης ἀπηλλαγμένην. ὑμεῖς μὲν γὰρ ἀδικού-
μενοι αὐτούς, ὡς φατέ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδι-
κοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. καίτοι τὰς
ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον ἢ
τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν
δὲ ἀποδιδομένας.

§ 4. *αἰσχρόν.* D. *οὐκ αἰσχρόν*, et Valla minus turpe est. Ne negatione opus esset, Krueger *καίτοι τί* legendum esse suspicatus est. Sed cf. adn.

70, 2. VI 86, 3. Cf. Hartung. de Part. I p. 388 sq. — *τὸ μέγιστον.* Cf. Krueg. Gr. § 57, 10 adn. 12. — *παρέχειν βουλεύεσθαι.* Suppl. *ὑμᾶς.* — *οὐ βιαζόμενοι ἔτι.* Respicitur ad verba 55, 1 *ὅτε . . . ἐβιάσαντο.* — *εἵλεσθε . . . τὰ Ἀθηναίων*, partes Atheniensium. Nota formula, ut similes *φρονεῖν τά τινος* (cf. 68, 3), *βούλεσθαι τά τινος* VI 50, 3.

§ 3. *καὶ λέγετε.* Cf. 55, 3. — *καταπροδοῦναι.* *Κατά* addito intendendi quaedam vis videtur contineri. — *αἰσχρὸν . . . αἴσχιον.* Cf. adn. II 40, 1. — *οἷς ξυνωμόσατε*, i. e. *πρὸς οὓς ξυμμαχίαν ἐποιήσασθε.* Cf. adn. I 71, 6. — *τοὺς μὲν . . . τοὺς δέ.* Cf. adn. I 68, 4.

§ 4. *καίτοι τὰς . . . ἀποδιδομένας*, et tamen hoc potius turpe est, pares gratias non referre, quam (non referre) eas, quae cum iustitia quidem contractae sunt, sed ita redduntur, ut iniustitia inde oriatur (i. e. sed sine iniuria persolvi nequeunt). Sententiarum conexus hic est: Turpe esse dicitis gratiam non referre eis, a quibus beneficia acceperitis. Sed vos pro iusto beneficio iniustam gratiam refertis, quamquam in reddenda gratia parem iustitiae rationem non sequi turpe potius est quam imparem iusto beneficio (i. e. iniustam) gratiam neglegere. „Ita Cicero de Off. I 15 non reddere beneficium (*μὴ ἀντιδιδόναι χάριν*) viro bono non licet (*αἰσχρόν*), modo id facere possit sine iniuria (*τὰς ὁμοίας χάριτας*). Sed si id tantum cum iniuria reddi potest (*ἐς ἀδικίαν ἀποδιδομένας*), non reddere id (*μὴ ἀντιδιδόναι*) viro bono licet (*οὐκ αἰσχρόν*).“ Arn. Ita intellecta haec sana sunt. Verba *ἐς ἀδικίαν* sic dicta sunt, ut *ἐς χάριν* 37, 2, ubi vid. adn. — *χάριτας ἀντιδιδόναι*, ut *χάριν διδόναι* Soph. OC. 1490. Cf. I 41, 1.

1 64. Δῆλόν τε ἐποιήσατε οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι, ἡμεῖς δέ, τοῖς μὲν ταὐτὰ βουλόμενοι
2 ποιεῖν, τοῖς δὲ τἀναντία. καὶ νῦν ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοί, ἀπὸ τούτων ὠφελεῖσθαι. ἀλλ' οὐκ εἰκός· ὥσπερ δὲ Ἀθηναίους
3 εἵλεσθε, τούτοις ξυναγωνίζεσθε, καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν ὡς χρὴ ἀπ' αὐτῆς νῦν σῴζεσθαι. ἀπελίπετε γὰρ αὐτήν, καὶ παραβάντες ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων ἢ διεκωλύετε,

καὶ ὅτι οἱ Πλαταιῆς πάντα ἃ χρηστοὶ ἐγένοντο δι' ἀττικισμὸν ἔπραξαν.

Cap. 64. § 1. ἡμεῖς δέ Vat. Pal. Aug. M. Mosqu. G. H., alii ὑμεῖς δέ. Cf. adn.

Cap. 64. § 1. **δῆλόν τε ἐποιήσατε . . . οὐ μηδίσαντες.** Cf. adn. 40, 8. — **Ἀθηναῖοι.** Suppl. ἐμήδισαν. — **ἡμεῖς δέ,** scil. ἐμηδίσαμεν. Cf. Plat. de Rep. 422 d οὐδ' ἡμῖν θέμις, ὑμῖν δέ. Vide adn. I 67, 2. Editores qui ὑμεῖς δέ scripturam retinuerunt ad βουλόμενοι eam referentes, non cogitaverunt utrumque vocabulum, cum oppositum desit, adeo omni pondere carere, ut abesse non solum possint, sed etiam debeant. Accedit quod rerum veritati repugnat Plataeenses aut semper aut bello Persico Graecis contraria facere voluisse, quoniam una cum his armorum vi Persis restiterunt. — **τοῖς μὲν . . . τοῖς δέ,** Atheniensibus . . . Thebanis.

§ 2. **ἀφ' ὧν . . . ἀπὸ τούτων.** Proprie aut ἀπὸ τούτων omittenda aut pro illis ἀφ' ὧν solum ἃ scribendum fuisse videatur. Sed cf. exempla in ed. mai. adscripta et Kuehn. Gr. § 787 adn. 1. Blum. ad Lycurg. 32. Saupp. ad Xen. de Vect. 4, 13. — **τούτοις ξυναγωνίζεσθε.** In praesentis imperativo inest haec notio: pergite eorum esse socii, permanete in horum partibus.

§ 3. **μὴ προφέρετε.** Supra 59, 2 medium legitur. De re vid. ibid. et 58, 1. 59, 2. — **τότε.** Cf. adnot. I 101, 2. — **ξυνωμόσιαν.** Sic iterum de societate V 83, 4. Cf. adn. I 71, 6 et II 74, 3. — **Αἰγινήτας.** Vid. I 105. 108. — **ἄλλους . . . ξυνομοσάντων.** De expeditione Thessalica Atheniensium I 111 et pugna Coronensi I 113, quibus Plataeenses interfuisse Muenscher de Rep. Plataeens. p. 81 non male suspicatur, cogitari ideo non potest, quia nec Thessali nec Boeotorum exsules socii umquam fuerunt Plataeensium. Nec apte ad ea, quae de Phocensibus et Locris Opuntiis I 108, 3 narrata sunt, respiciatur; nam hi quoque apud Plataeas certe in exercitu Persico dimicaverunt. Vid. Herodot. IX 31. Quare praecipue Euboeae incolae videntur intellegendi; hi enim et in exercitu Pausaniae fuerunt secundum Herod. IX 28, et ad eos subigendos a Pericle vicinos Plataeenses arcessitos esse, etsi στρατιᾷ Ἀθηναίων eos adortus esse dicitur I 114, verisimile est; fortasse etiam Naxii (cf. I 98), qui, quamquam ab Herodoto l. d. non nominati, et ipsi apud Plataeas a Graecis videntur stetisse.

*καὶ ταῦτα οὔτε ἄκοντες ἔχοντές τε τοὺς νόμους
οὕσπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασα-
μένου ὥσπερ ἡμᾶς· τὴν τελευταίαν τε πρὶν περι-
τειχίζεσθαι πρόκλησιν ἐς ἡσυχίαν ἡμῶν, ὥστε μηδ'
ἑτέροις ἀμύνειν, οὐκ ἐδέχεσθε. τίνες ἂν οὖν ὑμῶν* 4
*δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες
ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε;
καὶ ἃ μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατέ, οὐ
προσήκοντα νῦν ἐπεδείξατε, ἃ δὲ ἡ φύσις ἀεὶ
ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές· μετὰ γὰρ Ἀθη-
ναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. τὰ μὲν οὖν* 5
*ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν καὶ τὸν
ὑμέτερον ἑκούσιον ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν.*

ἕπεται (γ') ἀπολογία ὑπὲρ ὧν τὰ τελευταῖα Πλαταιῆς φασὶν ἀδικηθῆναι.

65. *Ἃ δὲ τελευταῖά φατε ἀδικηθῆναι (παρα-* 1
νόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίᾳ

§ 3. *ἡμῶν* Cass. Aug. Vat. M. H. Reg. D. I. E. Laur. m. Dan., qui genetivus subiective, quod dicunt, non obiective intellegendus est. In reliquis libris *ὑμῶν.*

μηδ' ἑτέροις Cass. Pal. T. Gr. Cf. adn. II 67, 4. II 72. VI 88. VIII 2. Krueg. ad Dion. p. 168. Vulgo et Bekk. *μηδετέροις.*

§ 4. *οὖν* om. Cass. Aug. Cl. Ven. It. Vat. M. H. Reg. Ar. Dan. Bekk. Aegre tamen hic particula sententias iungente careamus, et post *ἂν* saepe *οὖν* excidisse constat. Cf. sd. I 101, 3.

Cap. 65. § 1. *ἱερομηνίαις* codd. Cf. adn.

Vid. Thirlw. Hist. Graec. c. XVI p. 345. Minus de Thasiis, Samiis, Byzantiis et longinquioribus nec belli Persici tempore Plataeensium sociis cogitandum. — *τοὺς νόμους . . . δεῦρο.* Ex his Plataeenses iam tempore belli Aeginetici populari civitatis statu usos esse colligit Muensch. l. d. p. 78 sq. Certe per omnem illam aetatem eos numquam a *δυναστείᾳ* vel tyrannide oppressos esse hinc discimus. — *ὥσπερ ἡμᾶς.* Vid. 62, 3. 4. — *τὴν τελευταίαν . . . πρόκλησιν.* Vid. II 72. Iunge *τὴν πρόκλησιν ἡμῶν.* Cf. sd. — *ἐδέχεσθε.* Imperfectum positum videtur, quoniam saepius legati ultro citroque missi sunt.

§ 4. *οἵτινες . . . προὔθεσθε*, qui in illorum perniciem virtutem exhibuistis (spectandam). Cf. VIII 85, 3. — *χρηστοὶ . . . ὡς φατέ.* Respicitur ad 54, 3. — *οὐ προσήκ. ν. ἐπεδείξατε*, ad vos non pertinere nunc demonstrastis. De vi verbi *ἐπεδείξατε*, pro quo Class. *ἀπεδείξατε*, cf. Plat. de Rep. 391 e. Dem. XXI 7. — *ἐξηλέγχθη ἐς τὸ ἀληθές*, „i. e. ita comperta sunt, ut vera voluntatis vestrae ratio appareret.“ Bau. Comparanda formula Tacitina in falsum augere et similes atque adn. I 10, 3. — *ἄδικον ὁδὸν ἰόντων.* Cf. Matth. Gr. § 409, 4. *Ὁδόν* non raro de agendi ratione legi constat. Cf. Soph. OR. 67.

Cap. 65. § 1. *ἃ δὲ . . . ἀδικηθῆναι.* Vid. 56, 1. 2. — *ἱερομηνίᾳ.* E plurali forma,

ἐπὶ τὴν ὑμετέραν πόλιν), οὐ νομίζομεν οὐδ᾽ ἐν
2 τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν. εἰ μὲν γὰρ ἡμεῖς
αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα καὶ
τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ
ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει,
βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι,
ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια
καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν;
οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομέ-
3 νων. ἀλλ᾽ οὔτ᾽ ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔθ᾽
ἡμεῖς· πολῖται δὲ ὄντες ὥσπερ ὑμεῖς καὶ πλείω
παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες καὶ
ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως κομί-
σαντες ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι
μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν,

§ 3. αὐτῶν. Cass. Cl. Ven. Pal. Reg. alii αὑτῶν. Cf. adn. c. 17. Sed in superiore membro ἑαυτῶν, ut hic in H.

quam codd. habent, sollemnia, quibus Thebani intraverint, complurium dierum fuisse colligit Arn. At Goeller plurali sanctitatem diei significari arbitratur. Repudiatis interpretandi artificiis nunc auctoribus Meinek. Herm. III p. 364 et Herwerd. Stud. Thuc. p. 46 singularem rescripsimus, qui idem 56, 2 legitur.

§ 2. αὐτοί, ipsi, i. e. nostra sponte. Cf. IV 60, 2. Matth. Gr. § 468, 4. — ἀδικοῦμεν. Cf. Krueg. Gr. § 53, 1 adn. 3. Cum rationes afferantur, ex quibus de Thebanorum culpa iudicandum sit, supra vertendum est si pugnabamus et vastabamus, non si pugnavissemus et vastavissemus. Nam hoc ipsum num factum sit, audientium iudicio permittitur. — εἰ δὲ ἄνδρες cet. Cf. II 2, 2. — ἐς δὲ τὰ ... καταστῆσαι, i. e. restituere in commune Boeotorum concilium (cf. Liv. XXXIV 41). Κοινά omitti potuit. Cf. adn. II 2, 4. III 61, 2. 66, 1. — οἱ γὰρ ἄγοντες ... ἑπομένων. Respicitur ad 55, 4.

§ 3. πλείω παραβαλλόμενοι, plura periculis obicientes. Cf. adn. II 44, 3. — φιλίως, οὐ πολεμίως, amico, non hostili (in civitatem) animo. — τοὺς ὑμῶν χείρους, qui ex vobis deteriores erant. — μᾶλλον γενέσθαι] χείρους δηλονότι. Schol. Μᾶλλον igitur cum comparativo iunctum est. Cf. Matth. Gr. § 458. In quo hic eo minus offendimus, quia, cum ipse comparativus non sit iteratus, ex eo facile positivus repeti potest. Certe aut adiectivum iterandum aut μᾶλλον addi necesse fuit. — τὰ ἄξια ἔχειν, quae merebantur ob-

σωφρονισταὶ ὄντες τῆς γνώμης καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.

(δ')ἀντικατηγορία τῶν Πλαταιεῦσι νεωστὶ δεδραμένων.

66. Τεκμήριον δέ [ὡς οὐ πολεμίως ἐπράσσο- 1
μεν]. οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν
τε τὸν βουλόμενον κατὰ τὰ πάντων Βοιωτῶν
πάτρια πολιτεύειν ἰέναι πρὸς ἡμᾶς. καὶ ὑμεῖς 2
ἄσμενοι χωρήσαντες καὶ ξύμβασιν ποιησάμενοι τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι οὐ μετὰ τοῦ πλήθους ὑμῶν ἐσελθόντες, τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε

Cap. **66.** § 2. *ὑμῶν.* Cass. Aug. Cl. Ven. Pal. Vat. M. H. Reg. Gr. *ἡμῶν.* Cuius scripturae haec est vis: non cum maiore parte nostra (nostri exercitus). Cf. II 5. Bauero autem ironia ita oriens non satis apta videtur gravitati et indignitati rei, de qua conqueruntur Thebani. Vulgata certe magis plerisque placuit. Cf. adn.

tinere. — *σωφρονισταὶ ὄντες τῆς γνώμης*, animi vestri (i. e. sensuum) moderatores. Respici putant interpretes ad sophronistas Atheniensium, custodes puerorum disciplinae publice constitutos, de quibus vid. Wachsm. Antiqu. Gr. I p. 489. II p. 369. Horum tamen sophronistarum magistratus recentior videtur esse Schoemanno Antiqu. iur. p. 337. Ceterum cf. VI 87, 3. VIII 48, 5. — *τῶν σωμάτων* (quod vocabulum ab initio legitur, quod contrarium est superiori *γνώμης*) . . . *οὐκ ἀλλοτριοῦντες.* Port.: civitatem civibus (propr. eurer Personen, cf. Vig. p. 143) non orbantes. Dixeris etiam ab urbe cives non abalienantes secundum Goellerum, qui bene contulit I 40, 2 *καὶ ἄλλον ἑαυτὸν οὐκ ἀποστερῶν*, ubi pariter exspectaremus *καὶ ἄλλον ἑαυτοῦ οὐκ ἀποστερῶν.* Atque *ἀλλοτρίωσιν* schol. interpretatur *στέρησιν.* Abreschius apte comparavit Sap. Sirach. 11, 35 *ἀπαλλοτριώσαι σε τῶν ἰδίων*, cum quibus verbis cf. Theodoret. in Steph. Thes. v. *ἀλλοτριόω.* — *ἐς τὴν ξυγγένειαν* (*τὴν τῶν Βοιωτῶν* schol.) *οἰκειοῦντες.* Est emphasis a Porto expressa verbis in pristinam cum necessariis gratiam reducentes.

§ **66.** § 1. Seclusa del. Meinek. Herm. III p. 365. Praecessit quod demonstraturi sunt Thebani: *ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.* Cf. II 15, 4. 39, 2. 50, 2. *οὔτε γὰρ . . . πρὸς ἡμᾶς.* Vid. II 2, 4.

§ 2. *καὶ ὑμεῖς* cet. Vid. II 3. — *χωρήσαντες.* Suppl. *πρὸς ἡμᾶς.* — *εἰ ἄρα . . . πρᾶξαι*, etiamsi forte iniquius aliquid egisse videbamur. — *οὐ μετὰ τοῦ πλήθους ὑμῶν*, praeter multitudinis vestrae voluntatem. Cf. adn. 62, 4.

ἡμῖν, μήτε νεωτερίσαι ἔργῳ λόγοις τε πείθειν ὥστε ἐξελθεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε οὐχ ὁμοίως ἀλγοῦμεν (κατὰ νόμον γάρ δή τινα ἔπασχον), οὓς δὲ χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν παρανόμως διεφθείρατε,
3 πῶς οὐ δεινὰ εἴργασθε; καὶ ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν ὁμολογίαν καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτενεῖν ψευσθεῖσαν ὑπόσχεσιν,

πείθειν. Lugd. *πεῖσαι*, reliqui *πείσειν*. Cf. adn.

§ 3. *μὴ κτείνειν* codd. Emend. Herwerd. Stud. Thuc. p. 46. Verbum *ὑπισχνεῖσθαι* apud Th. semper futuri infinitivus sequitur. Cf. Stahl. Quaest. gram. p. 8 et adn.

ὑπόσχεσιν. Cass. Aug. It. Vat. G. Bekk. *ὑπόθεσιν*. At respicitur ad superius *ὑποσχόμενοι* et ad ea, quae II 5 narrata sunt. Neque iniuriae accusari possent Plataeenses, si opinionem aliquam (quid enim aliud esset hic *ὑπόθεσις*?) Thebanorum fefellissent. Denique dicendi generis *ψευσθῆναι ὑπόσχεσιν*, falli promissum, exempla attulit Bloomf. hic et ad V 83; at quis scripserit *ψευσθῆναι ὑπόθεσιν*, non meminimus, et putamus aptius dici *ὑποθέσεως*, ut *γνώμης, δόξης, ἐλπίδος*. Denique ipsum nomen *ὑπόθεσις* nusquam alibi apud Thuc. legitur.

I 128, 3. — *μήτε νεωτερίσαι*. De infinitivo vid. Matth. Gr. § 532 f. Verbum de hac re affuit II 4, 1. — *πείθειν*. Ad conatum significandum praesenti opus est. Codd. scripturam emend. Class. — *ἐπιθέμενοι* cohaeret cum verbis *οὓς μὲν ἀπεκτείνατε* et *οὓς δὲ διεφθείρατε* et antepositum est ideo, quod et ad ambo membra relativa pertinet et superioribus *τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν* contrarium est. In quo hanc licentiam scriptor admisit, ut alteram sententiam non convenienter priori verbo finito, sed participio exprimeret. Accuratius locutus esset: *ἐπέθεσθε δὲ παρὰ τὴν ξύμβασιν, ἐν ᾧ οὓς μὲν κ. τ. λ.* Similiter Xen. Anab. I 3, 8 scripsit *ὁ δὲ ἰέναι μὲν οὐκ ἤθελε, λάθρα δὲ . . . πέμπων αὐτῷ ἄγγελον ἔλεγε* pro *λάθρα δὲ . . . ἔπεμψε αὐτῷ ἄγγελον λέγων*. — *οὐχ ὁμοίως*. Cf. adn. I 2, 6. — *χεῖρας προϊσχομένους*. Cf. 58, 3. De re vid. II 4, 7. — *ὑποσχόμενοί τε* cet. Vid. II 5, 5 sqq.

§ 3. *καὶ ταῦτα*. Si minus plenam interpunctionem nunc post *ἀδικῶμεν* verbum positam servamus, haec et proxima videntur sic interpretanda, ut *τρεῖς ἀδικίας* praedicative appositum sit ad *ταῦτα*. Cf. Krueg. Gr. 57, 3 adn. 7 et § 61, 7 adn. 4. Nam ex hac interpunctione non apta huic loco est formula *καὶ ταῦτα*, de qua vid. Matth. Gr. § 470, 6. Male Krueg. *καὶ ταῦτα πράξαντες* collato Herod. I 197. VII 144 simul ad *εἴργασθε* et ad *ὅμως φατέ* refert; nam huic quidem eadem locutionis *καὶ ταῦτα* vis quae *εἴργασθε* verbo apta non est. — *τήν τε λυθεῖσαν ὁμολογίαν*, i. e. *τό τε λυθῆναι τὴν ὁμολ.* Similiter paulo post. Cf. adn. 36, 2. — *τὴν περὶ . . . ὑπόσχεσιν*. Haec grammatice sic expedienda: *τὴν*

ἢν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν, ὅμως
φατὲ ἡμᾶς παρανομῆσαι καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντι-
δοῦναι δίκην. οὔκ, ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώ- 4
σκωσι· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.

(ε΄) τοῦ προτρεπτικοῦ μέρους τοῦ τῶν Πλαταιῶν λόγου ἀνασκευή.

67. Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα 1
ἐπεξήλθομεν καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς
μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς
δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι, καὶ μὴ παλαιὰς 2
ἀρετάς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκούοντες ἐπικλα-
σθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους
εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι διπλασίας ζη-
μίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι. μηδὲ
ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθων, πατέρων τε
τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι καὶ τὴν σφε-
τέραν ἐρημίαν. καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν 3
πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλι-

§ 4. οὔκ Cass. Cl. T. Mosqu. et a rec. man. Pal. Vulgo οὐκ. Cf. adn.

Cap. 67. § 2. ὠφελείσθωσαν codd. Cf. sd. 39, 6.

περὶ αὐτῶν, (ἤγουν ὑμᾶς) μὴ κτενεῖν (αὐτούς), ἡμῖν ψευσθεῖσαν ὑπόσχεσιν, i. e. τὸ ψευσθῆναι ἡμῖν τὴν ὑπόσχεσιν ὅτι οὐ κτενεῖτε αὐτούς. Ceterum cf. sd. et de vv. τὴν ὑπόσχεσιν μὴ κτενεῖν supra 58, 1 τὴν δωρεὰν μὴ κτείνειν.

§ 4. οὔκ, ἤν γε cet. „Si grammaticorum praecepta sequimur, potius scribendum est οὔκ [quam οὐκ].“ Duk., qui Latine non ita dici posse addit. Cf. de hoc usu solius οὔκ V 101. Fritzsch. ad. Luci. p. 202. Pflugk. ad Eur. Hec. 399.

Cap. 67. § 1. ἵνα ὑμεῖς ... τετιμωρημένοι, ut vos quidem sciatis hos a vobis iuste damnatum iri, nos vero (sciamus) etiam religiosius ultionem nos ab eis petivisse (accusando et, ut condemnentur, efficiendo).

§ 2. καὶ μή. Ante haec virgula ponenda est, quod superior oratio tota in eo versatur, ut Plataeenses suas virtutes laudantes Thebanorumque iniurias querentes refellantur. Cf. 61, 1. Quae autem inde a verbis μηδὲ ὀλοφυρμῷ secuntur, ad restinguendam misericordiam spectant, quam Plataeenses imploraverunt. — εἴ τις ἄρα καὶ ἐγένετο, si modo aliqua etiam fuit, non solum simulatur. Cf. adn. IV 48, 5. — διπλασίας ζημίας. Singularem numerum videri requiri adnotat Arn. Legitur is certe I 86, 1, quo loco sententia illustratur. Sed cf. 39, 7. Ἔστι τί μοι ζημία sonant aliquid mihi poenae est. — οὐκ ἐκ προσηκόντων, contraquam eis convenit. Cf. Matth. Gr. § 574 p. 1334. Bernh. Synt. p. 461. — πατέρων ... ἐρημίαν. Vid. 57, 4. 59, 2.

§ 3. ἡλικίαν, iuventutem, pro concreto, ut νεότης II 8, 1.

*κίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες οἱ μὲν
πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες ἀπέθανον ἐν
Κορωνείᾳ, οἱ δὲ πρεσβῦται λελειμμένοι κατ' οἰ-
κίας ἐρῆμοι πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν
4 ποιοῦνται τούσδε τιμωρήσασθαι. οἴκτου τε ἀξιώ-
τεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν
ἀνθρώπων· οἱ δὲ δικαίως, ὥσπερ οἵδε, τὰ ἐναν-
5 τία ἐπίχαρτοι εἶναι. καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυ-
τοὺς ἔχουσι· τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόν-
τες ἀπεώσαντο. παρενόμησάν τε οὐ προπαθόντες
ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες καὶ
οὐκ ἀνταποδώσοντες νῦν τὴν ἴσην τιμωρίαν· ἔννομα*

§ 3. *καὶ οἰκίαι* codd. Cf. adn.

§ 5. *παρενόμησαν* Gr., reliqui *παρηνόμησαν*. Exempla perfecti apud Atticos quidem scriptores semper reduplicati (Xen. Hist. Gr. II 1, 31 *παρενενομήκεσαν*, 3, 36 *παρανενομηκέναι*, Dem. XXI 9 *παρανενομηκώς*, XXXXIII 71 *παρανενομήκασιν*, XXXXIV 31. LIV 2 *παρανενομῆσθαι*) documento sunt hos ipsam linguae rationem secutos esse. Longe diversum est *παρημέλουν* (I 25, 3) ex *παρά* et *ἀμελέω* ortum. Itaque eadem augmenti forma hic et Lys. III 17 inferenda est, quam nunc habes apud Herod. VII 238. Dem. XVII 22. Aeschin. III 77. Quam mature verbi originem ignorare coeperint, ostendit *παρηνομημένον* in Corp. inscr. n. 269, 1 e (titulus in Caria factus est a. 355 ante Chr.), nisi lapicidae errorem statuere mavis, qualem ibidem habes *βασιλέοντος* pro *βασιλεύοντος*. Scriptoribus certe hanc qualiscumque est ignorantiam vix recte imputaveris.

ἀνταποδόντες codd. Cf. adn.

— *διεφθαρμένην*. Plataeis. — *οἱ μὲν ... Κορωνείᾳ*. Cf. I 113 et supra 62, 5. — *οἱ δὲ ... ἐρῆμοι*, alii senes relicti in domibus (filiis) orbi. Verba *κατ' οἰκίας* (cf. 30, 2. VIII 92, 2) *διὰ μέσου* collocata ad *λελειμμένοι* et *ἐρῆμοι* simul spectant. Cf. adn. 60. Non recte tuentur codd. scripturam interpretantes: alii senes relicti et domus eorum orbae; nam sic *αἱ οἰκίαι* legi oportet. Nobis *πατέρες* duobus membris (*οἱ μὲν ... οἱ δὲ ...*) antepositum ostendebat de solis patribus sermonem esse. — *ὑμῶν*. Genetivus apud *ἱκετείας* nomen ita legitur, ut apud *ἱκέτου* vocabulum 59, 2.

§ 4. *οἱ δὲ δικαίως*. Subaud. *πάσχοντές τι*. — *τὰ ἐναντία* adverbialiter. Cf. Bernh. Synt. p. 130. Pflugk. ad Eur. Hel. 310. — *ἐπίχαρτοι εἶναι* (*ἀξιώτεροι*), digniores, quorum malis omnes gaudeant. „Etenim *ἐπίχαρτος*, inquit Salomo Prov. XI 3, *ἀσεβῶν ἀπώλεια*." Bloomf.

§ 5. *πλέον ἤ*, potius quam. Cf. II 89, 6. V 9, 6. — *ἀνταποδώσοντες*. Codd. scripturam *ἀνταποδόντες* falsam esse eo apparet, quod poenam non iam rependerunt sed rependent eaque res longe diversi temporis est atque *κρίναντες*. Proximum *ἔννομα γὰρ πείσονται*, quo causa affertur, cur poena eorum impar sit, ostendit futurum reponendum esse. — *ἔννομα ... πείσον-*

γὰρ πείσονται καὶ οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι, ὥσπερ φασίν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς
δεήσεις καὶ ἐπίλογοι. δίκην σφᾶς αὐτοὺς παραδόντες. ἀμύνατε οὖν, ὦ 6
Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα, καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν, ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα οὐ λόγων τοὺς ἀγῶνας προθήσοντες ἀλλ' ἔργων, ὧν ἀγαθῶν μὲν ὄντων βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ, ἁμαρτανομένων δὲ λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται. ἀλλ' ἢν οἱ ἡγεμόνες, ὥσπερ 7
νῦν ὑμεῖς, κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας

ται. Haec apud Bekk. est interpositio, quae interpunctio nobis ideo improbanda videtur, quia non intellegimus, quomodo Plataeenses eo, quod se dediderint, vel postquam se dediderint, iniuste egisse dicantur, id quod fit verbis *παρενόμησαν παραδόντες σφᾶς αὐτούς*. Durissimam distinctionem et explicationem excogitavit Goell. sola *ἔννομα γάρ* interiecta esse arbitratus. — *καὶ οὐχί*, et nequaquam, scil. *πείσονται.* — *χεῖρας προϊσχόμενοι.* Cf. 66, 2. — *ὥσπερ φασίν.* Vid. 58, 3. — *ἀπὸ ξυμβάσεως . . . παραδόντες.* Vid. 52, 2 sq.

§ 6. *ἀμύνατε . . . καί.* Sic incipiens Thucydides proprie verba *ἀνταπόδοτε . . . γεγενήμεθα* additurus non erat. Cf. de *τέ* adn. I 16 et verborum apud *καὶ . . . καί* hanc ob causam traiectorem exempla 71, 1. IV 105, 1. V 16, 1. 61, 2. 88. VI 65, 1. — *τῷ . . . νόμῳ . . . παραβαθέντι.* Vid. 66, 2. — *ὧν πρόθυμοι*, i. e. *τούτων ἃ πρόθυμοι*, ut *τὸ προταλαιπωρεῖν πρόθυμος ἦν* legimus II 53, 3. Saepius *πρόθυμος ἔς τι* dicitur. — *μὴ τοῖς . . . ὑμῖν*, ne propter istorum orationem apud vos repulsam feramus, Port. Cf. adn. 57, 4. — *ποιήσατε . . . παράδειγμα*, i. e. *δείξατε.* Quare participium sequitur. Cf. adn. 40, 8. — *λόγων τοὺς ἀγῶνας.* „Refertur ad id genus rhetoricarum exercitationum, quod tunc [apud Athenienses maxime] valebat. Cf. 37, 4. 38, 3.“ Bloomf. *Ῥητόρων ἀγῶνα* vocat Demosth. XVIII 226. Articuli vis haec est: ea certamina, quae proponetis, non verborum, sed factorum (certamina) proponetis. — *προθήσοντες.* Similiter *προκεῖσθαι ἀγῶνα* dixerunt Diod. et alii. — *ἁμαρτανομένων δέ.* De verbis *ἔργα ἁμαρτάνεται* cf. adn. II 65, 11. — *λόγοι ἔπεσι κοσμηθέντες*, orationes verbis exornatae, verborum ornatu excultae. Cf. Lob. ad Soph. Ai. 1096. Bergk. Hist. litt. Gr. I p. 432, 24 et cum sententia Sal. Iug. 85. Similiter nonnulli II 41, 4 *ἔπη* intellegunt, ubi tamen cf. adn.

§. 7. *κεφαλαιώσαντες*, rebus singulis in unam summam contractis, omnia summatim attingentes, breviter complexi. Omnino de brevi agendi et cognoscendi ratione accipi posse adnotat Heilm., et plane alienam notionem ei verbo

διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει."

1 68. *Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν καὶ*

Λακεδαιμόνιοι δίκην παρὰ τῶν Πλαταιῶν λαμβάνουσιν ὠμοτάτην, χαρισάμενοι Θηβαίοις.

affinxit Goell. Cum tamen alibi semper de sermone dici videatur, ut VI 91, 7. VIII, 53, 1 hic quoque maxime ad brevem illam interrogationem 52, 4 respicitur. Nam hoc participium, ut paulo post *ποιήσησθε*, non tam cum generali illo *ἡγεμόνες* quam cum *ὑμεῖς* pronomine esse congruens recte vidit Arn. — *διαγνώμας*. Cf. adn. I 87, 6. — *ποιήσησθε*. Verbi persona ad rem comparatam accommodata est. Cf. adn. I 82, 1.

Cap. 68. § 1. *τοιαῦτα δέ*. Cf. adn. I 44, 1.— *οἱ δὲ Λακεδαιμόνιοι δικασταί*. Verba finita horum nominativorum sunt *ἀπέκτειναν* et *ἐποιήσαντο*. — *τὸ ἐπερώτημα*. Vid. 52, 4. — *ἕξειν*. Futurum propter *αὖθις* . . . *ἐρωτῶντες* quod sequitur. Superius *ὀρθῶς* Bloomf. male explicat utiliter, cum esse recte, iuste, ex proximis liqueat. — *διότι τόν τε . . . ἡσυχάζειν*. Verbis *διότι τε ἠξίουν* qui respondere volunt *καὶ* . . . *ἡγούμενοι* orationisque mutationem eandem esse, quam reperimus I 1, 1 in verbis *ὅτι ἀκμάζοντές τε ἦσαν . . . καὶ . . . ὁρῶν*, non satis cogitaverunt, ut iusta fieret oppositio, *ὕστερον* cum participio *ἡγούμενοι* coniungendum fuisse. Ita fit deleto *ὅτε*; sed ne sic quidem omnia recte videntur procedere, cum propter sententiam *καὶ νῦν . . . ἡγούμενοι* potius exspectes. Quodsi *καὶ . . . ἡγούμενοι* cum *διότι τε ἠξίουν* verbis iungi nequit, reliquum est, ut *καὶ ὅτε ὕστερον* aut ad *προείχοντο* aut ad *ἐδέξαντο* referatur. Hoc autem duabus de causis statui nequit, primum quod Lacedaemonii ante spretam condicionem, non post eam Plataeenses quiescere volebant; deinde quominus ita sententiam expediamus, *ὡς* obstat, quo *ὡς ἐδέξαντο* verba alio spectare apparet; nam *ὡς* pro *ὅτι* particula post interpositionem iteratum esse (cf. Xen. Cyr. V 3, 30. Kuehn. Gr. § 771,3) ideo statui nequit, quod hac ratione *ἃ . . . προείχοντο κ. τ. λ.* non interposita sed obiectum sunt *οὐκ ἐδέξαντο* verborum. Iam vero, ut, quod unum restat, *καὶ ὅτε ὕστερον* cum *προείχοντο* iungatur, *ἃ* auctoribus Heilmanno et Class. delendum est. — *τόν τε ἄλλον χρόνον ἠξίουν . . . καὶ ὅτε ὕστερον . . . προείχοντο*. Plataeenses quiescere Lacedaemonii et per reliquum tempus volebant et postea cum pacis condicio ab Archidamo oblata est (cf. II 72, 1). Illud magis simulatum quam verum esse adiuncta *δῆθεν* particula ostendit. Semel saltem id factum esse ex II 72, 1 *ἅπερ καὶ τὸ πρότερον ἤδη προυκαλεσάμεθα* cognoscitur. — *τὰς παλαιὰς . . . σπονδάς*. Pactum vel promissum Pausaniae *στρατεῦσαι μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς* (II 71, 2), a Plut. Arist. 21 magnificentius his verbis expressum: *Πλαταιεῖς ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι*. — *μετὰ τὸν Μῆδον*, i. e. post cladem Medi,

ὅτε ὕστερον [ἃ] πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς ⟨δ'⟩ οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὐ-

devicto Medo. Ita post Cremonam Tac. Hist. III 49, post vina Hor. Carm. I 18, 5. Cf. id. III 21, 19 et Rupert. ad Tac. l. d. et adnot. V 2, 1. — *προείχοντο*] *προεβάλλοντο.* Schol. Cf. IV 87, 2. — *κοινοὺς εἶναι*] *τουτέστιν Ἀθηναίων καὶ Λακεδαιμονίων.* Schol. Cf. adn. 53, 2. — *ἐκεῖνα*] *τὰ τοῦ Παυσανίου.* Schol. De neutro cf. Krueg. Gr. § 58, 3 adn. 6. — *ὡς ⟨δ'⟩ οὐκ ἐδέξαντο, ἡγούμενοι . . . πεπονθέναι* cum procul dubio ad causam pertineant, cur Lacedaemonii interrogationem recte se habere putaverint, participium *ἡγούμενοι* autem verbo *ἠξίουν* subditum esse nequeat, quod illi non opinionem eam habentes postulaverunt, sed postquam postulaverunt, opinati sunt, ut iuxta ponerentur *διότι . . . ἠξίουν* et *ἡγούμενοι* (cf. adn. I 1, 1), *δ'* addendum erat. Si quidquam ex perversa Vallae interpretatione hic concludi potest, haud temere hoc eum legisse conicias. Vertit enim: at ubi repudiata condicio est. . Idem *ἃ* omittit. — *ἡγούμενοι . . . πεπονθέναι*, rati se propter sua iusta postulata (ab illis neglecta) iam ut foederis expertes ab illis violatos, Port. (nisi quod hostes male addidit). Ita haec videntur intellegenda, si recte scripta sunt. Verba ab illis neglecta omitti a Thuc. ideo potuerunt, quod antecedunt haec: *ὡς οὐκ ἐδέξαντο*. *Ἔκσπονδοι* non explicandum quia *ἔκσπονδοι* sint, sed se, qui (seu dum) nulla societate adstricti sint, qua ad parcendum illis permoverentur. Erant autem *ἔκσπονδοι*, quia Plataeenses condiciones ab Archidamo oblatas spreverant. Et „cum essent *ἔκσπονδοι*, Graecorum iudicio sine certis legibus cum eis vivebant; quare nihil prohibebat, quin supplicio eos afficerent . . . Solum igitur, quod Spartiatae considerabant, erat, num illo foedere, quod Pausanias cum Plataeensibus fecisset, solutos se iudicarent." Arn. Falsas aliorum enodationes vide in ed. mai. Comment. et Supplem. Accedat Bloomfieldiana praeter eam, quam paulo ante probavimus, in ed. 2 proposita: optimum consilium habentes (with perfectly just intentions of their own), quam notionem soli dativo non subiectam esse apparet. Unum exemplis demonstrare non possumus, *βούλησιν* postulationem seu oblatam condicionem sonare. Arnoldo igitur in ed. 2 verba *τῇ ἑαυτῶν δικαίᾳ βουλήσει* non solum propter novam et Atticis prorsus ignotam vim vocis *βούλησις*, sed etiam propter universam formam et compositionem adeo dissimilia sermoni Graeco aetatis Thucydideae videntur, ut ea aut depravata aut ex scholio orta esse censeat. Quodsi ex interpretamento haec verba orta esse statuimus (et fatendum est hoc plurimum probabilitatis habere), Thucydidem *τῇ δικαιώσει* scripsisse facile conicias. Ita enim Lacedaemonii ea quam ex foederis iure instituerant postulatione se foedere solutos esse opinantur. Nempe *δικαίωσις* proprie est postulatio ex iure facta. Cf. V 17, 2. Similem atque hic immigrasse statuimus eiusdem vocabuli interpretationem habet schol. III 82, 4 *δικαιώσει δὲ ἀντὶ τοῦ τῇ ἑαυτῶν δικαίᾳ κρίσει* et V

θις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρω-
τῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους
ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσίν, ὁπότε
μὴ φαῖεν, ἀπάγοντες ἀπέκτεινον καὶ ἐξαίρετον
2 ἐποιήσαντο οὐδένα. διέφθειραν δὲ Πλαταιῶν μὲν
αὐτῶν οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ πέντε
καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠν-
3 δραπόδισαν. τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα [Θη-
βαῖοι] Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτω-
κόσι καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιῶν
περιῆσαν ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ καθελόντες
αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων ᾠκοδό-
μησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων

17, 2 **δικαιώσεις]** *αἰτήματα δίκαια.* — **τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες.** Est *σχῆμα διὰ μέσου*, de quo vid. Bernh. Synt. p. 351. Lob. ad Soph. Ai. 477. Wund. in Cens. Ai. Lob. p. 131 sqq. al. in ed. mai. c. *Παράγειν* hic et V 45, 4. 46, 5. VIII 53, 2 est producere (in medium). — **ὁπότε μὴ φαῖεν.** Cf. adn. II 15, 1. — **ἀπέκτεινον.** Cf. Dem. LIX 103 et de turpitudine rei Isocr. XIV 62.

§ 2. Cum numeris huius paragraphi cf. II 78, 3. III 20, 2. 24, 2. — **ξυνεπολιορκοῦντο.** Cf. Krueg. Gr. § 53, 2 adn. 8.

§ 3. **ἐνιαυτόν τινα**, circiter annum, ut numeralibus aliquotiens *τις* additur. Cf. adn. 111, 4. Omittitur *ἕνα*, quod solum *ἐνιαυτός* unum annum significat. Cf. 27, 2. VII 28, 3. — **Θηβαῖοι** recte del. Class. Nam omnium rerum, quae usque ad vocabulum *ἀπεμίσθωσαν* narrantur, eosdem esse auctores facile patet. Verbi *ἀπεμίσθωσαν* autem subiectum esse Peloponnesios sive Lacedaemonios proximum *καὶ ἐνέμοντο Θηβαῖοι* ostendit. Atque urbem diruisse terramque locasse Lacedaemoniorum duces Diod. XII 56, 6 tradit. — **Μεγαρέων ... ἐκπεπτωκόσι.** Cf. IV 66. — **τὰ σφέτερα φρονοῦντες.** Similiter VI 51, 2 *τὰ τῶν Συρακοσίων φρονοῦντες*. Cf. adn. 63, 2 et de re II 2, 2. — **ἐς ἔδαφος ... ἐκ τῶν θεμελίων.** Ne alterutrum superfluat, *ἐκ τῶν θεμελίων* (adverbialiter dicitur *ἐκ θεμελίων*) cum *ᾠκοδόμησαν* iunge, ut ex fundamentis urbis dirutae deversorium aedificasse dicantur. Privata aedificia praeter fundamenta ex lateribus vel lutamento exstructa erant (cf. Boeckh. Oec. civ. I p. 93). Publicum deversorium totum ex saxo factum est. *Ἐς ἔδαφος* iterum IV 109, 1. Male intellectam Thucydideam formulam imitatus est Procopius verbis *καθεῖλε μὲν αὐτὸ ἐς τὸ ἔδαφος ἐκ τῶν θεμελίων* de Aedif. p. 12 d. — **πρὸς τῷ Ἡραίῳ.** De hoc templo vid. Herodot. IX 52. Paus. IX 2, 5. Plut. Arist. 18. Krus. Hell. II 1 p. 595. Leak. Graec. sept. II p. 364. Bursian. Geogr. p. 244. — **καταγώγιον.** Ut videtur, ad homines pios, qui templum Iunonis visitarent, recipiendos. De his deversoriis vid. Beck. Charicl.

*ποδῶν πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν
καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν
Πλαταιῶν ἐχρήσαντο, καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν
τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας
κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκα-
τόμποδον λίθινον ᾠκοδόμησαν αὐτῇ. τὴν δὲ γῆν
δημοσιώσαντες ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ
ἐνέμοντο Θηβαῖοι. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν* 4
*περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτε-
τραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες
ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον*

I p. 136 sq. — ***πανταχῇ***, quoquoversus (i. e. in quadratum). Cf. Hier. Muell., qui hoc adverbium rectius ad superiora quam ad ea, quae secuntur, referri docet, etsi *πανταχῇ κύκλῳ* recte coniungi videbimus VII 79, 5. — ***οἰκήματα***, cubicula. Cf. Stallb. ad Plat. Phaed. c. 65. — ***κάτωθεν καὶ ἄνωθεν***, i. e. *κάτω καὶ ἄνω*. Cf. adn. II 102, 2. — ***τοῖς ἄλλοις***. Est is dativus, pro quo etiam genetivus materiae legitur. Cf. Matth. Gr. § 374 b adn. — ***ἐν τῷ τείχει . . . σίδηρος***. In his si *ἐν τῷ τείχει* sonant in muro, *χαλκὸς καὶ σίδηρος* oportet sint retinacula ferrea, quae opus lapideum in summo muro firmaverint (cf. I 93), similesque res aeneae. Ita Bloomf. explicat. Sed primum, etsi *σίδηρος* in muris exstruendis aliquotiens (ut praeter l. d. IV 69. VI 88) commemoratur, aeris in eis mentionem fieri non meminimus. Deinde *ἐπίπλων* nomen supellectilem magis quam materiam significans satis recte de illis retinaculis et illo aere vix dicatur. Denique cum antea *ὀροφαὶ καὶ θυρώματα* domuum Plataeensium fuerint, *τὰ ἄλλα ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα* de ipsius muri partibus quibusdam explicari posse non existimamus. Quare Heilm. *ἐν τῷ τείχει* recte intra moenia, i. e. in urbe, videtur interpretatus esse. Cf. I 62, 6 *ἐς τὸ τεῖχος κατέφυγεν*. — ***κλίνας***. Attende materiem harum *κλινῶν*. De *κλίναις* Graecorum universis vid. Beck. Charicl. II p. 115 sq. Hic sunt lecti aerati vel triclinia aerata Latinorum. Vid. interpr. Liv. XXXIX 6, 7. „Hi autem lecti aut usui hospitum in sacris sollemnibus erant destinati aut, id quod Bloomf. existimat, non in templi, sed in deversorii usum facti, ut, qui adoratum venissent, in eis cubarent.“ Arn. in ed. 2. Suam sententiam pluribus tuetur Bloomf. in ed. 2. — ***νεών***. Hanc aediculam ei, quae iam in *Ἡραίῳ* seu sacro territorio (*ἱερῷ*) Iunonis fuisset, additam esse a Thebanis, ut deos Plataeenses propitiarent, suspicatur Arn. — ***ἐνέμοντο***. Cf. adn. I 2, 2. II 15, 2.

§ 4. ***σχεδὸν δέ τι καὶ τὸ ξύμπαν***, propemodum autem atque adeo omnino. „Dicendi genus *σχεδόν τι* redit V 66, 4 et VII 33, 2.“ Arn. Cf. Matth. Gr. § 487, 4 et de vv. *τὸ ξύμπαν* adn. I 145. De *καί* in gradatione posito vid. Matth. Gr. § 620, 1 e. — ***περὶ Πλαταιῶν***. quod attinet ad Plat. — ***ἀποτετραμμένοι ἐγένοντο***. Cf. Matth. Gr. § 560. Appellatur schema Chalcidicum (Chalcidense). — ***ἄρτι . . . καθιστάμενον***. Cf. adn. 3, 1.

5 ὠφελίμους εἶναι. καὶ τὰ μὲν κατὰ Πλάταιαν ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο οὕτως ἐτελεύτησεν.

Λακεδαιμόνιοι ὡς ἐς τὴν Κέρκυραν πλευσούμενοι παρασκευάζονται.

1 69. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι [καὶ] ἀπ' αὐτῆς σποράδες πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τρισκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα.
2 ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες ἐς τὴν Κέρκυραν πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων

Cap. 69. § 1. τρισκαίδεκα. Τρεισκαίδεκα Mosqu. Bekk. et taciti It. et Vat. Sed aut τρεῖς καὶ δέκα aut τρισκαίδεκα scribendum. Cf. Lob. ad Phryn. p. 409. Numerale deest in Cass. Aug. Pal. Reg.

§ 5. τρίτῳ καὶ ἐνενηκοστῷ. Itaque a. Chr. n. 519. „Olympiadum ratio hac de re variat [velut in Muell. Dor. et Clint. Fast. Hell.], quod, cum Plataeae aestate deditae sint, utrum Ol. LXXXIIIae anno [primo] exeunte, an altero ineunte captae sint, non constat. Quare Plataeenses aut Ol. LXV 1 aut LXV 2 in Atheniensium societatem pervenisse repeриuntur.“ Muensch. de Reb. Plataeens. p. 51. De dubitatione ex Cleomenis rebus exorta vid. ed. mai. Groteus in Hist. Gr. IV p. 224, vers. germ. II p. 456 τρίτῳ καὶ ὀγδοηκοστῷ legendum esse docet eique assentitur Duncker Hist. antiqu. IV p. 448. Contra numerum a codd. traditum tuentur Curtius Hist. Gr. I p. 318. Schoemann. Antiqu. II p. 72. Cum illis facit Sickel Symb. ad explic. Thuc. p. 8 (Halis 1863). — ἐπειδὴ . . . ἐγένοντο. Vid. 52, 1 et ibi adn.

Cap. 69. § 1. αἱ δὲ τεσσαράκοντα νῆες. Vid. c. 29. — τότε. Cf. adn. I 101, 2. Respicitur autem ad 33, 1. — ἔκ τε τῶν Ἀθηναίων. A Pachete. Vid. 33, 2 sq. et de praepositione Antiph. II 8, 1. Matth. Gr. § 574. — ἐπιδιωχθεῖσαι. Idem verbum de eadem re affuit 33, 3. In eo ἐπί intensivum esse et significare proxime seu ἐπὶ πόδα hic putat Bloomf. At idem ad c. 108 omnino a tergo persequi, insequi interpretatur. Rectius quam Goell. ad c. 33. — σποράδες idem atque σποράδες γενόμεναι, i. e. διασπαρεῖσαι esse et cum superioribus participiis coniungendum vulgo putant. At aptius quam haec cum κατηνέχθησαν cohaeret. Quare recte καὶ delevit Class. — ξύμβουλον. Cf. adn. II 85, 1.

§ 2. δώδεκα μὲν . . . προφθάσωσι, et quod cum duodecim duntaxat navibus

Ἀθηναίων περὶ Ναύπακτον, πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα.

στάσις Κερκυραίων, ὧν οἱ ἐν Κορίνθῳ αἰχμάλωτοι γενόμενοι κατελθόντες Πειθίαν πρῶτον μὲν ἐς δίκην ὑπάγουσιν, ἔπειτα κτείνουσι.

70. *Οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ* 1
αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι ἕκαστον τῶν πολιτῶν μετιόντες ὅπως ἀποστή-

Athenienses ad Naupactum essent, et ut, antequam maior aliqua classis Athenis subsidio venisset, praeverterent. **Ὅπως** Thucydides, quo clarius **δώδεκα ναυσὶ μόναις παρόντων** et **πλέον τι ἐπιβοηθῆσαι** contraria ponerentur, ante **προφθάσωσι** demum collocavit. Cf. adn. I 10, 2. IV 4, 1. Quod si huic explicationi obstare dicas, quod Lacedaemonii Corcyram non ideo, ut, priusquam Athenienses maiorem classem collegissent, illuc pervenirent, sed ut eam, si ante illud tempus navigassent, sibi conciliarent, petituri fuerint, Goeller id ipsum tam perspicuum esse respondet, ut scriptori non opus fuerit dicere **ὅπως προφθάσωσι καὶ τὴν πόλιν προσποιήσωνται.** De duodecim illis navibus vid. 75, 1.

Cap. **70.** § 1. ***ἐστασίαζον.*** Cf. Diod. XII 57. — ***οἱ αἰχμάλωτοι.*** Vid. I 54. 55. — ***περὶ Ἐπίδαμνον.*** Proprie apud Sybota. Vid. I 47 sqq. „Haud dubie Thuc. omnia ea, quae ineunte bello in Ionio mari gesta sunt, ad Epidamnum ideo rettulit, quia non procul ab illa ... gerebantur, et certe vel ad oppugnationem vel ad defensionem et liberationem eius urbis spectabant.“ Haack. Cf. Diod. l. d. — ***ὀκτακοσίων ταλάντων ... διηγγυημένοι,*** sponsione octingentum talentum facta ab hospitibus ipsorum publicis, talentis octingentis redempti datis fideiussoribus hospitibus suis publicis. Ita fere Port., ut dativus positus sit pro praepositione **ὑπό** et genetivo. Cf. Diod. l. d. De genetivo pretii cf. Dionys. Antiqu. VII 12 **διεγγυήσαντες τὰ σώματα χρημάτων.** Ad rem quod attinet, „cum binae minae usitatum redemptionis pretium gravis armaturae militum proeliis captorum apud Peloponnesios fuerint (vid. Herod. VI 79), octingenta talenta pretium circiter ducentorum quinquaginta hominum (vid. I 55) incredibile videatur.“ Arn. Demosthenis milites in Sicilia obsides relinquendos singulos singulis talentis aestimatos esse VII 83 legemus, unde ut iusto maiorem esse numerum **ὀκτακοσίων** forsitan conicias, ita minorem esse **ὀγδοήκοντα**, quem Valla expressit, videtur constare. Maius pretium Class. excusat nobilitate virorum et fallaci pacti simulatione. Infinitum numerum posuit Diod. De variis redemptionis pretiis vid. Boeckh. Oecon. civ. Ath. I p. 100 sq. et Schoem. Antiqu. iur. p. 369. De proxenis cf. adn. II 29, 1. — ***μετιόντες,*** ambientes. Cf. VIII 73. — ***ὅπως ἀποστήσωσιν.*** Cf. I 57, 4. Plat. Gorg. 480 e. 481 a.

2 σωσιν Ἀθηναίων τὴν πόλιν. καὶ ἀφικομένης Ἀτ-
τικῆς τε νεὼς καὶ Κορινθίας πρέσβεις ἀγουσῶν,
καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυ-
ραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ
ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ
3 πρότερον. καί (ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε
τῶν Ἀθηναίων καὶ τοῦ δήμου προειστήκει) ὑπ-
άγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην λέγοντες
4 Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. ὁ δὲ ἀπο-
φυγὼν ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε
ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς

§ 2. *καταστάντων*. Suppl. *τῶν πρέσβεων τοῖς Κερκυραίοις*. Cf. IV 58. — *ξύμμαχοι ... ξυγκείμενα*. Cf. I 44, 1. „*Καίτοι ἐπιμαχίαν μόνον ἐκεῖ ἐποιήσαντο πρὸς ἀλλήλους.*" *Δούκας*. Eam etiam tunc servatam esse apparet ex adiectis vv. *Πελοποννησίοις ... πρότερον* et ex 75, 1. Latius igitur hic patet vis voc. *ξύμμαχοι* (cf. adn. I 44, 9) et fallitur Muell. de Rep. Corcyr. p. 28. Cf. adn. II 25, 1. *Τὰ ξυγκείμενα* = *τὰς ξυνθήκας*. Cf. V 47, 8. VIII 58, 5.

§ 3. *ἦν γάρ*. Causa *παρενθέτως* praemissa ut I 31, 2. 57, 6. 87, 2. III 107, 3. VII 48, 3. VIII 109, 1. Ubi sententia interposita non cum principali coalescit (cf. adn. I 72, 1), hanc earum necessitudinem interpositionis notis significare nunc placet. — *ἐθελοπρόξενος*. „*Ἐθελοπρόξενος* est, qui sua sponte alterius urbis legatos hospitio excipit [eiusque civium res curat], quamvis nondum ab illa urbe agnitus sit hospes, multo minus in tabulas publicas relatum sit hospitium cum illo contractum esse. Cum vero ius hospitii *ἀνάγραπτον*, id est publico nomine perscriptum est in civitatis albo, tum demum fit *πρόξενος*." Kuhn. ad Poll. III 59. 60. Posse *ἐθελοπρόξενον* etiam ab ipsis Corcyraeis nondum sanctum *πρόξενον* existimari dicit Muell. de Rep. Corcyr. p. 43 ob verba schol. non prorsus hanc vim habentia: *ἐθελοπρόξενος*] *ἀφ' ἑαυτοῦ γενόμενος, καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως· οἱ γὰρ πρόξενοι καλούμενοι ἐκ τῆς ἑαυτῶν πόλεως ἐγένοντο.* Similiter iam Boeckh. Corp. Inscr. I p. 731: non a Corcyraeis constitutus. Sed *πρόξενοι* constitui solebant plerumque ab ea civitate, cuius patrocinium agebant. Cf. Herm. Antiqu. I § 116. Schoemann. Antiqu. Gr. II p. 22. Accusare licebat *ἐθελοπρόξενον*, quod patrocinio sua sponte suscepto non in publica fide erat. — *τοῦ δήμου προειστήκει*, i. e. *τοῦ δήμου προστάτης ἦν*. *Οἱ τοῦ δήμου προστάται τῶν Κερκυραίων* nominantur c. 75, 2 et IV 46, 4. De quibus viris universis vide accuratissime disputantem Wachsmuthium in Antiqu. Gr. I p. 819 sqq. et Muell de Corcyr. Rep. p. 49 sq., qui tamen frustra dubitat, num Pithias *προστάτης τοῦ δήμου* fuerit. Disceptatur, utrum fuerint principes factionis popularis, an magistratus publicus. Recte Schoemann. Antiqu. Gr. I p. 174, 1 monet locos, qui illud cogant, inveniri multos, qui hoc, nullum.

§ 4. *ἀποφυγών*, absolutus. — *φάσκων ... τεμένους*. „Nata est haec apud

τοῦ τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ. ὀφλόντων δὲ 5
αὐτῶν καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὤν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. οἱ δ' ἐπειδὴ τῷ τε 6

Cap. **70.** § 4. *τοῦ τεμένους* Cass. Aug. Cl. Ven. F. Pal. It. H. Reg. Gr. D. E. Laur. Lugd. al. „Sic c. 81 *ἐν τοῦ Διονύσου τῷ ἱερῷ.*" Duk. Cf. c. 96 et V 47. Vulgo et apud Bekk. deest *τοῦ*.
§ 5. *ὀφλόντων.* Aug. Ven. Pal. It. Vat. H. et in marg. Cl. male *ὀφειλόντων*. Cf. Buttm. Gr. Ind. verb. anom.

veteres religio lucorum, quam violatam dicebat Pithias. Vid. Ovid. Metam. VIII 741 sqq. et Fast. IV 753. Hinc saepe in Ovidio incaeduus lucus et incaedua silva. Athenienses poenam capitis statuerunt in eos, qui vel minimam ilicem e luco heroum excidissent. Aelian. Var. Hist. V 17." Duk. „*Χάρακας* Smith. et Heilm. interpretantur palos, [Port. et Kistem. vallos. Sed primum ipsum genus vocabuli in proximis refragatur. Nam *χάρακα θηλυκῶς ἐπὶ τῶν ἀμπέλων, ἀρσενικῶς δὲ ἐπὶ τῶν πρὸς πολιορκίαν* dici docent veteres grammatici. Cf. Moer. Thom. Lob. ad Phryn. p. 61. Deinde] difficile est ad intellegendum, quo pacto illi viri tot palis indigere potuerint . . . Malo igitur cum Hobb. et al. interpretari statumina, pedamenta vitium." Bloomf. Vide plura in ed. mai. Cf. Mans. Spart. II App. IV p. 413 sqq. De *τεμένους* nomine vid. adnot. I 134, 1, de vineis circum templa sitis cf. c. 90, de *ἐκ* praepositione adn. II 75, 2. Non ipsas arbores caesas, sed earum ramos amputatos videri contra Arn. adnotat Bloomf. in ed. 2. — *τοῦ Ἀλκίνου.* Alcinoi *τέμενος* Corcyraei fortasse id putarunt esse, cuius mentionem facit Hom. Od. VI 293. De Alcinoi et Iovis coniunctione cf. Muell. de Corcyr. Rep. p. 56. — *στατήρ.* Corinthiorum rationem numariam Corcyrae in usu fuisse ostendit Corp. inscr. Gr. n. 1845. Stater eorum argenteus, qui apud ipsos trium drachmarum erat, *δίδραχμον* Atticum pondere aequabat. Cf. Hultsch. Metrol. p. 258 sqq.

§ 5. *πρὸς τὰ ἱερὰ . . . καθεζομένων.* Cf. adn. I 126, 1. — *πλῆθος*, magnitudinem, ut *στρατιᾶς πλήθει* I 129, 3 et similia dicuntur. — *ὅπως ταξάμενοι ἀποδῶσιν*, ut accepta aestimatione solverent non poenam, sed aestimatum statuminum pretium. Cf. I 99, 3. — *Πειθίας . . . πείθει.* Quae in his inest adnominatio, eam fortuitam existimamus esse. Cf. tamen VII 39, 2. — *βουλῆς ὤν.* Hinc substantivum *βουλῆς* male finxerunt Suid. et schol. Cf. Matth. Gr. § 322 et de articulo omisso Schneid. ad Plat. I p. 399. Senatores autem Corcyraeorum certe plures quam triginta fuisse cur ex hoc Thucydidis capite colligi posse dicat Muell. de Rep. Corcyr. p. 44, nobis non liquet. — *ὥστε . . . χρήσασθαι*, ut lege (in eos) agerent, ut lex valeret. Quare debitores publici *ἀτιμίᾳ* notati, si ad diem constitutam totam multam non solvissent, magnis malis affecti essent. Cf. quae de Atheniensium debitoribus publicis adnotat Herm. Antiqu. Gr. I § 124 et 143. De *ὥστε* particula cf. adn. II 2, 4.

§ 6. *ἐπειδὴ τῷ νόμῳ ἐξείργοντο* scil. *τοῦ ταξά-*

νόμῳ ἐξείργοντο καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστί, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε καὶ λαβόντες ἐγχειρίδια ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες τόν τε Πειθίαν κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν.

1 71. Δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες Κερκυραίους εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων, τό τε λοιπὸν μηδετέρους δέχεσθαι ἀλλ' ἢ μιᾷ νηὶ ἡσυχάζοντας, τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι. ὡς δὲ εἶπον, καὶ
2 ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις περί τε τῶν πεπραγμένων διδάξοντας ὡς ξυνέφερε καὶ

μετὰ ταῦτα δὲ Κερκυραῖοι μηδετέροις ἀμύνειν ψηφίζονται.

§ 2. ***προσβολήν***] *ἤγουν τόπον ἐπικαιρότατον, ἀφ' οὗ ἔστιν ἐξορμᾶν κατὰ τῆς Σικελίας . . ., προσόρμισιν καὶ ἔφοδον τῆς Σικελίας, ἢ πρὸς τὴν Σικελίαν.* Schol. Cf. VI 48, 1. VII 4, 7 et infra 52, 3. — ***ἀμφοτέρωθεν***] *ἔκ τε τῆς γῆς ἑαυτῶν, τῆς Λοκρίδος, καὶ ἐκ θαλάσσης.* Schol.

§ 3. ***ἐσεβεβλήκεσαν*** plusquamperfectum, quod hoc tempore etiam in eorum terra erant. — ***τοῖς Μεσσηνίοις.*** Ex his *αὐτῶν* § 1 minus distincte non de toto populo Messeniorum, sed de nonnullis ex eo dictum esse

ἐπὶ πολὺν χρόνον ἐστασίαζε καὶ ἀδύνατα ἦν ἐν
τῷ παρόντι τοὺς Λοκροὺς ἀμύνεσθαι, ᾗ καὶ μᾶλ-
λον ἐπετίθεντο. δῃώσαντες δὲ οἱ μὲν Λοκροὶ τῷ 4
πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν·
καὶ ἄλλαι [αἱ] πληρούμεναι ἔμελλον αὐτόσε ἐγκαθ-
ορμισάμεναι τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

Πελοποννήσιοι ἐς τὴν Ἀττικὴν ἐσβάλλουσιν. Ἀθηναῖοι δὲ, στόλον μὲν ἐς Σικελίαν παρασκευάζονται, διανοοῦνται δὲ καὶ τῇ Κερκύρᾳ καὶ τῇ Πελοποννήσῳ προσίσχειν.

2. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος, 1
πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι, Πελοποννήσιοι καὶ
οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν Ἀττικήν (ἡγεῖτο δὲ
Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς), καὶ
ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν. Ἀθηναῖοι δὲ τάς 2
τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν,
ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπο-
λοίπους, Εὐρυμέδοντα καὶ Σοφοκλέα· Πυθόδω-
ρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς Σι-
κελίαν. εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα 3
παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ
ἐλῃστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ
Πελοποννησίων αὐτόσε νῆες ἑξήκοντα προεπεπλεύ-
κεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ καὶ λιμοῦ ὄντος

Cap. 2. § 3. παρεπεπλεύκεσαν codd. Cf. adn.

apparet. — ἀδύνατα ἦν. Cf. adn. III 53, 2 et III 88, 1. V 14, 4. — ἐπετίθεντο, impetum continuabant.

§ 4. καὶ ἄλλαι ... ποιήσεσθαι. Cf. c. 24. „Articulus, cum nulla navium quae tum parabantur mentio facta sit, ex praecedentis vocabuli terminatione natus perperam irrepsisse videtur.“ Class. Symb. crit. p. 14. Cf. Annal. phil. 1870 p. 324.

Cap. 2. § 1. πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι. Cf. adn. II 19, 1. Infra 6, 1 τοῦ σίτου ἔτι χλωροῦ ὄντος. — Ἆγις. Ante Bekk. male Ἄγις. Cf. Fix. in Steph. Thes. h. v. et de ipso Agide Ind. nom. — ἐγκαθεζόμενοι. Cf. adn. III 1, 1.

§ 2. τὰς τεσσαράκοντα ναῦς. Vid. III 115, 4. — ὥσπερ παρεσκευάζοντο, eadem qua eas paraverant ratione, i. e. non aliud consilium secuti. De imperf. cf. adn. III 68, 2. — τοὺς ὑπολοίπους. Cf. III 115, 5.

§ 3. εἶπον. Cf. adn. I 131, 1. — παραπλέοντας. De accusativo vid. adn. II 11, 7. — ἐλῃστεύοντο ... φυγάδων. Cf. III 85, unde montem constat esse Istonen. — προεπεπλεύκεσαν. Quod in codd. est παρεπεπλ. vix aliter intellegi potest quam antea παραπλέοντας. Sed Athenienses Corcyram praetervehentes in Siciliam profecturi erant, Peloponnesii ipsam Corcyram petiverant. Aptissimum esse quod auctore Class. rescripsi-

μεγάλου ἐν τῇ πόλει νομίζοντες κατασχήσειν ῥᾳδίως
4 *τὰ πράγματα. Δημοσθένει δὲ ὄντι ἰδιώτῃ μετὰ*
τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας αὐτῷ δεηθέντι
εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἢν βούληται,
περὶ τὴν Πελοπόννησον.

1 3. *Καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν Λακω-*
νικὴν καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν Κερκύρᾳ
ἤδη εἰσὶ τῶν Πελοποννησίων, ὁ μὲν Εὐρυμέδων
καὶ Σοφοκλῆς ἠπείγοντο ἐς τὴν Κέρκυραν, ὁ δὲ
Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας
αὐτοὺς καὶ πράξαντας ἃ δεῖ τὸν πλοῦν ποιεῖσθαι.
ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος

Δημοσθένης οὖν τὴν Πύλον τῆς Μεσσηνίας ἀξιοῖ τειχίζεσθαι, ᾧ οἱ ἄλλοι στρατηγοὶ ἀντιλέγουσιν.

mus, apparet ex 3, 2. — ***κατασχήσειν . . . τὰ πράγματα.*** Cf. adn. III 30, 3.

§ 4. ***μετὰ τὴν . . . Ἀκαρνανίας.*** Vid. III 114. — ***ταῖς ναυσὶ ταύταις.*** „Eisdem, quibus Eurymedon cum Sophocle et Pythodoro praeerat.“ Haack. Id enim et ex ipsis verbis intellegitur et ex eis, quae c. 3 sqq. narrantur. Fallitur igitur Diod. XII 60. — ***περὶ τὴν Πελοπόννησον.*** Errat schol. Aristoph. Equ. v. 55. Cf. Duk.

Cap. 3. § 1. ***Λακωνικήν.*** Cuius nomine etiam Messenia continetur. Cf. II 25. — ***Πύλον.*** Totum locum Thucydidis, in quo de Pylo et Sphacteria et rebus ibi gestis agitur, in compendium redactum Britannice interpretatus est et illustravit Leakius in itineris per Peloponnesum facti descriptione vol. I p. 401 sqq. Ceterum cf. Diod. XII 60. De Pylo a Demosthene occupata narratiunculam propter ea, quae Thucyd. scribit, parum probabilem servavit Polyaen. III 1, 1. Super situ Pyli et Sphacteriae et quibus locis nunc responderent disseruit Arnoldus vol. II p. 400 sqq., quocum praeter alios praecipue Leakius l. d. conferendus est. Thucydidis aetate Pylum non fuisse urbem, sed ante castellum ibi ab Atheniensibus exstructum promontorii deserti nomen ex § 2. 3 apparet. Cf. Strab. 359 ***ἡ μὲν παλαιὰ Πύλος ἡ Μεσσηνιακὴ ὑπὸ τῷ Αἰγαλέῳ πόλις ἦν· κατεσπασμένης δὲ ταύτης ὑπὸ τῷ Κορυφασίῳ τινὲς αὐτῶν ᾤκησαν.*** (Qui ***τινές*** tam pauci videntur fuisse et tam disperse habitasse, nisi adeo postea discesserunt, ut Thucydides ***ἐρῆμον*** locum vocare non dubitaverit. Nisi forte Strabo, quae de Messeniis postea Pylum reversis c. 41 legemus, in falsum tempus transtulit.) ***προσεκτήσαντο*** (marg. rectius ***προσέκτισαν***) ***δὲ αὐτὴν Ἀθηναῖοι τὸ δεύτερον ἐπὶ Σικελίαν πλέοντες μετ' Εὐρυμέδοντος καὶ Στρατοκλέους*** (leg. ***Σοφοκλέους***). Pylum autem ***παλαιὸν Ἀβαρῖνον*** sive ***Παλαιόκαστρον***, non, id quod Castellanus maxime demonstrare studuerat, urbem Avarinum sive ***Νεόκαστρον*** esse cum plerisque statuit Leak. l. d. Dissentiunt Pouquev. et Arn. At Leakii sententiam defenderunt Grot. Hist. Gr. VI p. 431 sq. vers. germ. III p. 559 sq. Curtius Pelop. II p. 174. 179. Bursian. Geogr. II p. 176 sq. Fuit igitur promontorium a septentrione versus Sphacteriam insulam procurrens ab eaque angusto freto disiunctum. Cf. adn. 8, 6 et 13, 4. — ***σχόντας***, appulsos. Cf. adn. I 110, 4. — ***ἀντιλεγόντων δέ.*** Suppl. ***αὐτῶν***

κατήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. καὶ ὁ Δημο- 2
σθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον (ἐπὶ τοῦτο γὰρ ξυνέπλευσε), καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων καὶ φύσει καρτερὸν ὂν καὶ ἐρῆμον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ, καλοῦσι δὲ αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυ-

Cap. 3. § 2. **τοῦτο** Aug. Ven. T. Pal. It. Vat. Gr. M. I. W. X. Y. Z. al. Quod ut exquisitius recepimus. Cf. V 87 et ibi adn. Vulgo *τούτῳ*, quem casum locis I 74 et Xen. Cyr. I 6, 39 tuetur Arn. Cf. sd. III 42, 6.

ξυνέπλευσε codd. longe plurimi et optimi, **ξυνέπλευσαν** Pal., **ξυνέκπλευσε** M., vulg. **ξυνεκπλεῦσαι**. Cf. adn.

αὐτό τε. In optimis libris *αὐτὸ τότε*, vix recte; *τότε* non vertit Valla.

(**τοῦ Εὐρυμέδοντος καὶ Σοφοκλέους**).

§ 2. **ἐπὶ τοῦτο**] *ἤγουν ἕνεκα τοῦ τειχισθῆναι*. Schol. — **ξυνέπλευσε**. Vulg. **ξυνεκπλεῦσαι** facilem habet explicationem. Saepe enim ex verbis voluntatis, postulandi, hortandi, similibus dicendi verba repetenda sunt. Velut ex **παραινεῖν** III 31, 1, ex **ἀναπείθεσθαι** III 94, 3 (cf. III 75, 1), ex **κελεύειν** III 94, 5, ex **ἐᾶν** V 41, 2, ex **ἐπιμαρτύρεσθαι** VI 29, 2, ex **παραιτεῖσθαι** V 63, 3. Etiam ex querendi verbis, velut ex **ἐπικαλεῖν** V 56, 2, ex **μέμφεσθαι** VIII 50, 5. Similiter putandi notio ex verbis cogitandi aliquid facere, videndi, sciendi, timendi, similibus depromenda est. Sicut ex **διανοεῖσθαι** VI 96, 1, ex **ὁρᾶν** IV 27, 1. VII 42, 4, ex **εἰδέναι** VI 64, 1, ex **φοβεῖσθαι** IV 8, 8, ex formula **ἐς μέγα δέος κατέστησαν** IV 108, 1 et ex simili **ἐς ὑποψίαν καθίστη** V 29, 3. Qualia apud Latinos quoque reperiri constat. De Graecis cf. Matth. Gr. § 537 extr. et § 634, 4. Sed non minus optimorum librorum scriptura narrationi convenit. Demosthenem enim eo consilio Athenis profectum esse, non postea cepisse vel inde apparet, quod statim cum Messeniae oram praeterveherentur navium duces Pylum appellere iussit ibique facere, quae opus esse viderentur. — **ἐπὶ πολὺ τῆς χώρας**. Cf. adn. I 1, 2. — **ἀπέχει γάρ**. „Ex depravv. libris Kistem. praeferebat **δέ** . . . [Sed] **γάρ** h. l. spectat ad **ἐρημίαν πολλὴν τῆς χώρας**." Haack. — **σταδίους . . . τετρακοσίους**. Consentit Strab. 551. Ex Arrowsmithii tabula viam esse 42 mill. geogr. docet Clint. Fast. Hell. p. 403 ed. Krueg. de stadiorum magnitudine disserens. Olympica stadia esse demonstrat etiam Puill. Boblaye Parietin. Peloponn. p. 113 sqq. de Pylo explicans. Paulo minus (575 pedum Britann.) stadium Thucydideum esse putaverat Leak. Topogr. Athen. p. 382 interpr. Germ. — **αὐτήν** ad Pylum, non ad Messeniam spectare et ex verbis Strabonis paulo ante adscriptis, unde Coryphasium montis vel promontorii nomen esse apparet, intellegitur et collatis locis IV 118, 4 et V 18, 7, ubi manifesto de

3 φάσιον. οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾶν. τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον, λιμένος τε προσόντος καὶ τοὺς Μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον καὶ ὁμοφώνους τοῖς Λακεδαιμονίοις πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι.

1 4. Ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγοὺς οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν, ὑπὸ ἀπλοίας μέχρι

ἀπλοίας δὲ οὔσης ἡ Πύλος ἐκτειχίζεται.

Pylo legitur, docet Arn. Cf. Vischer in Mus. Helv. I p. 388.

§ 3. *δαπανᾶν.* *Εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν* interpretatur Suid. Est sumptu exhaurire, conficere. Similiter Appi. Civ. I 94 *ἄνεμος πόλιν ἐδαπάνησε*, consumpsit. Dici etiam de conficiendo seu consumendo tormentis et morbis cognoscitur ex ed. mai. et ex Steph. Thes. — *διάφορον ... ἑτέρου μᾶλλον.* „*Διάφορον* hic significat eximium, imprimis commodum. Rarum est, ut *μᾶλλον* sequatur." Bloomf. — *λιμένος τε προσόντος.* De hoc portu vide plura c. 8 et 13 — *καὶ τοὺς Μεσσηνίους ... πλεῖστ' ἂν βλάπτειν.* Oratio proprie ita procedere debebat, *καὶ τῶν Μεσσηνίων ... πλεῖστ' ἂν βλαπτόντων.* Sed ut III 94, 3, ubi cf. adn., transiit ad infinitivum, ad quem ex superioribus *ἐδόκει* vi diversa (putabat) sive *ἐνόμιζε* repetendum, pro quo ne *ὅτι ἐνόμιζε* requiri existimes, cf. adn. ad simillimum enuntiatum V 53. — *αὐτῷ*, i. e. *τῷ χωρίῳ.* „Messenios autem, qui Naupactum tenebant, cur *οἰκείους Πύλῳ* et Lacedaemoniis *ὁμοφώνους* esse dicat Thuc., cognosci potest e Pausan. Messen. XXIV et XXVII." Duk. De priore cf. 41, 2, de altero III 112, 4.

Cap. 4. § 1. *ὕστερον ... τοῖς ταξιάρχοις κοινώσας.* „*Ἀπορεῖται, ὅπως τοῖς στρατιώταις πρότερον τῶν ταξιάρχων ἐκοίνωσε τειχίζειν τὸ χωρίον· ταξίαρχοι γὰρ τῶν τάξεων ἦσαν ἄρχοντες, οὗτοι δὲ προτιμητέοι τῶν ὑποταττομένων στρατιωτῶν ἐν βουλαῖς.*" *Δούκας.* Fortasse res sic intellegenda est, ut Demosthenem militibus per taxiarchos, quibuscum post imperatores rem communicasset, frustra persuadere studuisse existimemus. De ipsis taxiarchis Atheniensium, qui decem quotannis, singuli ex singulis tribubus, creabantur, vid. Herm. Antiqu. Gr. I § 152 et Schoem. Antiqu. iur. p. 253 sq., Antiqu. Gr. II p. 439, quamquam ab his taxiarchis eos, qui hic commemorantur, discerni vult Arn. — *ἡσύχαζεν*, vi translata: er hielt sich ruhig, gab seine Bemühungen auf. — *ὑπὸ ἀπλοίας μέχρι.* Bekker non post *ἡσύχαζεν* verbum, sed post *ἀπλοίας* nomen interpunxit. Sed patet non navigandi difficultatem Demostheni in causa fuisse, cur quiesceret, sed quod exercitus adhortanti non obtemperaverat. Immerito Kruegero, si *ὑπὸ ἀπλοίας* cum verbis *ὁρμὴ ἐνέπεσε* iungeretur, collocatio verborum non ferenda visa est. Saepissime enim Th. coniunctionibus notiones ponderis augendi causa praeponit,

αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν ὁρμὴ ἐνέπεσε περιστᾶσιν ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες 2 εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλόν, εἴ που δέοι

Cap. 4. § 1. Codd. plurimi ἐσέπεσε, pauci ἐπέπεσε. Quorum neutrum cum in animi motu valeat, ἐνέπεσε correximus. Cf. II 91, 4. IV 34, 2. VI 24, 3. VII 80, 3.

velut coniunctioni ὡς I 134, 1. 141, 2. III 88, 3 (cf. adn. III 37, 2), ὅτι I 90, 4. 144, 2. IV 27, 1. V 7, 5. VIII 78, διότι I 77, 2, εἰ I 10, 2. 11, 2. 33, 3. 107, 3. 142, 4. IV 85, 5. VII 20, 3, ἤν III 31, 1. VI 13, 1. 18, 4. 79, 1, ἵνα IV 87, 3. Similiter pronomini relativo VI 33, 3. Cf. adn. I 10, 2. 68, 1. Contra Class., qui Dobraeo auctore ἡσύχαζον ὑπὸ ἀπλοίας edidit, cf. Annal. phil. 1870 p. 322. — αὐτοῖς τοῖς στρατιώταις. Milites navigatione impedita otiosi ipsi (i. e. sua sponte. Cf. III 65, 2. IV 60, 2. 128, 4) id fecerunt, quod Demosthenes eis persuadere frustra conatus erat. — περιστᾶσιν. Mutata sententia interpretatur Heilm. „Simplicior intellectus, opinor, verior est, ut milites undique accurrentes [circumstantes] munitionem aggressi esse dicantur.“ Arn. — ἐκτειχίσαι modo est absolvere munitionem, modo, ut hic, omnino emunire. Cf. IV 45, 2. VII 4, 5. 26, 3. Drak. ad Liv. XXI 7, 7. Miram verborum ὡς δὲ οὐκ . . . τὸ χωρίον explicationem proposuit Mueller-Struebing Aristoph. p. 665 sqq., quam, si placet, vide apud ipsum.

§ 2. σιδήρια, ferrea instrumenta, ferramenta. — λιθουργά. Insolentius hic adiective legitur; nam alibi (ut 69, 2) λιθουργός substantivum est. Apud Poll. VII 125 et apud Suid. in v. λογάδην legitur λιθουργικά, sed id sic dici non certius est, immo vulgato patrocinatur Greg. Nyss. λιθουργοῖς ὀργάνοις scribens. Vid. Dind. in Steph. Thes. „Videtur σιδήρια λιθουργά accipere non tam pro ferramentis ad elaborandos quam ad eximendos lapides. [Attamen] schol. expl. λαξευτήρια, scalpendis et poliendis lapidibus apta.“ Steph. ibid. Recte schol. Cf. adn. prox. — λογάδην φέροντες, cum delectu (sive selectos) comportantes, quia caedere eos non poterant. Cf. IV 31, 2. VI 66, 2. Schaefer in Steph. Thes. non selectos, sed collectos lapides vult esse; at illa interpretatio reliquo usui vocabuli, ut cum de militibus dicitur, est convenientior. Contrarium esse loquendi genus λίθοι ἐν τομῇ ἐγγώνιοι I 93, 5 adnotat Did. „Structura huius castelli, praeterquam quod minus erat, antiquissimo Cyclopiae, quae vocatur, architecturae generi similis videtur fuisse, cuius exemplum exstat in Tirynthis moenibus. Vid. Gell. Argol. tab. 14. Ibi intervalla maiorum saxorum lapillis expleta erant, quod ipsum Pyli factum esse probabile est; et mortario, quod Thuc. in partibus quibusdam operis adhibitum esse dicit, ad hos lapides solidandos opus erat, cum maiora saxa sua magnitudine et pondere firma essent.“ Arn. Cf. Puill. Bobl. l. d. p. 4 et Muell. Enchirid. Archaeolog. § 269. — καὶ ξυνετίθεσαν. De transitu a participio ad verbum finitum cf. adn. I 57, 4. — ξυμβαίνοι, i. e. ξυναρμόζοι. — καὶ τὸν πηλόν cet. Horum

χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀπο-
3 πίπτοι. παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι, πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε καὶ οὐδὲν ἔδει τείχους.

αἰτίαι τῆς ὀλιγωρίας τῶν Λακεδαιμονίων. οἱ Ἀθηναῖοι τειχίσαντες ταῖς πλείοσι ναυσὶν ἀποπλέουσιν.

1 5. Οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς, ὅτ' ἂν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ· καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι
2 ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχε. τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὰ πρὸς ἤπειρον καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἓξ τὸν μὲν Δημοσθένη μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.

οἱ δὲ Πελοποννήσιοι ἀναχωροῦσιν ἐκ τῆς Ἀττικῆς.

1 6. Οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου, νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἆγις ὁ βασιλεὺς οἰκεῖον σφίσι

ἐνάργειαν iure laudat schol. De πηλοῦ voce cf. adn. I 93, 5. — τοῦ νώτου. De singulari cf. adn. II 52, 4. 70, 3.

§ 3. φθῆναι ... πρὶν ἐπιβοηθῆσαι. Subiectum infinitivi ἐπιβοηθῆσαι eadem attractione obiectum superioris φθῆναι factum est, de qua vid. adn. II 21, 1. — αὐτὸ καρτερόν. Antea 3,2 φύσει καρτερόν, unde liquet, quid sit αὐτό. Cf. 69, 2. Tum οὐδέν est οὐδαμῶς.

Cap. 5. § 1. ἑορτὴν ... ἄγοντες. Hac de causa a militia abstinebant. Cf. adn. V 54, 2. — ἐν ὀλιγωρίᾳ ἐποιοῦντο. Cf. Vig. p. 282. — ὡς ... ὑπομενοῦντας. Cf. Matth. Gr. § 568, 3. Buttm. Gr. § 145 adn. 7. — ἐν ταῖς Ἀθήναις, apud Athenas. Cf. adn. III 91, 5.

§ 2. καὶ ἃ ... ἔδει. Dicit καί, quia etiam in partibus nonnullis ad mare versis munitione subita opus fuit. Cf. 13, 1 et ibi adn. — ἐν ἡμέραις ἕξ. At Diod. XII 61 ἐν εἴκοσιν ἡμέραις ἐτείχισε τὴν Πύλον, fortasse de universa munitione loquens, etsi τὰ πρὸς τὸ πέλαγος τετραμμένα etiam infra c. 9 infirmissimo muro munita reperiemus. — τὸν ... πλοῦν ... ἠπείγοντο. Cf. adn. III 2, 3.

Cap. 6. § 1. ἐπύθοντο ... κατειλημμένης. Conf. Matth. Gr. § 349 adn. 2. Krueg. Gr. § 47, 10 adn. 11. — νομίζοντες οἱ Λακεδαιμόνιοι. De nominativis cf. Matth. Gr. § 562, 1 adn. 1. Krueg. Gr. § 56, 9 adn. 1. Cf. II 54, 2. IV

τὸ περὶ τὴν Πύλον· ἅμα δὲ πρῲ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς, χειμών τε ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν ἐπίεσε τὸ στράτευμα.
ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον 2
αὐτοὺς καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύτην· ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.

Ἠιόνα Μενδαίων ἀποικίαν Σιμωνίδης Ἀθηναῖος μάτην αἱρεῖ.

7. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης Ἀθηναίων στρατηγὸς Ἠιόνα τὴν ἐπὶ Θρᾴκης, Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος προδιδομένην κατέλαβε· καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων ἐξεκρούσθη τε καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.

Πελοποννήσιοι παρασκευάζονται ὡς Πύλῳ

8. Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς 1
Πελοποννησίων οἱ Σπαρτιᾶται αὐτοὶ μὲν καὶ οἱ

Cap. 7. Ἠιόνα Aug. It. Bekk. pro vulgat. Ἠϊόνα. Et apud Harpocrat. in v. Ἠϊών, πόλις Θρᾴκης, Μενδαίων ἀποικία, litterarum ordo ι furtivum esse demonstrat. Accedit, quod in Cass. C. F. G. X. Z. α. Ἠόνα exaratur. Obstat tamen Eustath. ad Homer. Il. p. 179 Rom. ὅτι δὲ Ἠιὼν δισυλλάβως καὶ τόπος ἐστὶ Στρυμόνος, καὶ Ἠϊὼν τρισυλλάβως πόλις ἐν Χερσονήσῳ παρὰ Θουκυδίδῃ καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ. Ceterum cf. sd. I 98, 1.

73, 4. V 81, 2. — πρῴ de anni tempore ut VII 19, 1. — τοῦ σίτου ... ὄντος. Cf. 2, 1. — ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς, so hatten sie für den grössten Theil des Heeres nicht hinlängliche Lebensmittel. Simillime VIII 57, 1 ἦν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς. — χειμών, frigus, tempestas pluvia, hiberna. Cf. adn. III 21, 4. — παρά, ut I 23, 3, ubi cf. adn.
§ 2. πολλαχόθεν. Proprie tribus de causis, ut docent superiora.

Cap. 7. Ἠιόνα. De scriptura nominis cf. sd. Non esse Eionem Strymoniam (I 98. IV 102 sqq.) satis demonstratum est in ed. mai. I 2 p. 350 sq. Sed etiam in Chersoneso sitam et Pieriam, quas commemorat Eustath. (cf. sd.), significari iure negat Arn. Eam de qua hic agitur urbem in Chalcidica collocandam esse breviter adnotat Od. Muell. de Maced. p. 26. In ora Bisaltiae inter Bolben et Amphipolin fuisse multis probare studet Cousinery Maced. I p. 119 sqq. — Μενδαίων. De his vid. c. 123. De μέν non addito cf. sd. I 12, 3. — ἐκ τῶν φρουρίων. Quae in hac regione habebant Athenienses.

Cap. 8. § 1. τῶν ἐκ. Cf. adn.

ἐγγύτατα τῶν περιοίκων εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον, τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδυτέρα ἐγίγνετο ἡ ἔφοδος, ἄρτι ἀφιγμένων ἀφ' ἑτέρας
2 στρατείας. περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον, καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ ναῦς σφῶν τὰς ἑξήκοντα ἔπεμψαν, αἳ ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν καὶ λαθοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς ἀφικνοῦνται ἐπὶ Πύλον· παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς
3 στρατός. Δημοσθένης δὲ προσπλεόντων ἔτι τῶν Πελοποννησίων ὑπεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν Ζακύνθῳ Ἀθηναίοις παρεῖναι ὡς τοῦ χωρίου κιν-
4 δυνεύοντος. καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λακεδαιμόνιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων.
5 προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ τῆς Ζακύνθου τῶν Ἀττικῶν νεῶν βοήθειαν ἐν νῷ εἶχον, ἣν

προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν καὶ ὁπλίτας διαβιβάζουσιν ἐς Σφακτηρίαν.

Cap. 8. § 1. στρατείας. In libris mss. στρατιᾶς. Cf. ad. I 9, 3.

§ 5. τῆς Ζακύνθου. Τῆς om. It. Vat. M. H.; sed postquam haec insula bis § 2 et 3 nominata est, articulum additum malumus. Cf. c. 13.

I 8, 2. — τῶν περιοίκων. Cf. adn. I 101, 2. — τῶν δὲ ἄλλων, i. e. τῶν μὴ ἐγγύτατα οἰκούντων.

§ 2. περιήγγελλον. Cf. adn. I 116, 1. II 10, 1. — τὰς ἐν . . . τὰς ἑξήκοντα. Cf. c. 2 et de σφῶν adn. I 25, 2. „Diod., utvidetur, τεσσαράκοντα πέντε XII 61.“ Wass. Et infra 11, 2 apud ipsum Thuc. quadraginta tres commemorantur. De quo dissensu cf. adn. 11, 2. — ὑπερενεχθεῖσαι τὸν . . . ἰσθμόν. De re vid. adn. III 15, 1, de Leucadiorum isthmo adn. III 81, 1. — τὰς ἐν Ζακύνθῳ . . . ναῦς. De Eurymedontis et Sophoclis classe agi et docet Bloomf. cl. c. 13 et apparet clarissime ex § 3. — ὁ πεζὸς στρατός. Μύριοι καὶ δισχίλιοι teste Diod.

§ 4. αἱ νῆες . . . ἔπλεον. Naves iter faciebant, dum proxima geruntur. Sunt igitur naves duae ad arcessendam classem missae, non ipsa classis. — τὰ ἐπεσταλμένα, mandata.

§ 5. τὴν βοήθειαν. „Sententia huius loci est Peloponnesios exspectasse et praevidisse Atti-

ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔσπλους τοῦ
λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς Ἀθηναίοις
ἐφορμίσασθαι ἐς αὐτόν. ἡ γὰρ νῆσος ἡ Σφακτη- 6
ρία καλουμένη τόν τε λιμένα, παρατείνουσα καὶ
ἐγγὺς ἐπικειμένη, ἐχυρὸν ποιεῖ καὶ τοὺς ἔσπλους
στενούς, τῇ μὲν δυοῖν νεοῖν διάπλουν κατὰ τὸ
τείχισμα τῶν Ἀθηναίων καὶ τὴν Πύλον, τῇ δὲ
πρὸς τὴν ἄλλην ἤπειρον ὀκτὼ ἢ ἐννέα· ὑλώδης
τέ καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν καὶ μέγεθος

cam classem utpote amicam auxilio venturam Atheniensibus, qui Pyli erant." Duk. — *καὶ τοὺς ἔσπλους . . . ἐμφράξαι. Καί*, i. e. praeterquam quod impetus facerent.

§ 6. *ἡ νῆσος ἡ Σφακτηρία.* Haec ab aliis scriptoribus *Σφαγία* dicitur. Vid. Gottleb. ad Plat. Menex. c. 30. Tres Sphagias ante Pylum iacere affirmat Plin. Hist. nat. IV 12, 55. Duas tantum agnoscit Muell. Dor. II p. 455. Numerum non definit Xen. Hist. VI 2, 31. Tertia praeter Sphacteriam seu Sparicam (Avarini insulam) et eam, quae hodie Paree vocatur, potest esse Kilonaki inter Sphacteriam et continentem medio in sinu Avarini sita. Cf. Bursian. Geogr. II p. 176, 1. — *παρατείνουσα.* De vi huius verbi intransitiva cf. Herod. I 203, de re Paus. IV 36, 4. Diod. l. d. Strab. 359. — *τῇ μὲν . . . ὀκτὼ ἢ ἐννέα.* „Australis introitus certe plus 1200 cubitos Britannicos [yards, quorum singuli ternos pedes aequant,] latus est (ex recenti quadam dimensione adeo amplius 1400 cubiti dicuntur esse), septentrionalis circiter 150. Quorum numerorum ratio non consentit, ac si septentrionalem introitum normam comparationis vellemus esse, veteribus triremibus spatium ducenorum vel trecenorum pedum, ut [aequatis frontibus] moverentur, opus erat, id quod credi non potest." Leak. Pelop. I p. 415 sq., qui a Thucydide portus ostii latitudinem non visam aut accurate examinatam esse suspicatur. Bloomf. in numeris *ὀκτώ* et *ἐννέα* a librariis erratum, Arn. Sphacteriam et Pylum omnino non esse Sparicam et Avarinum veterem conicit. At ex hodierno statu nihil certi concludi posse, cum locorum natura mutationem subierit, dicit Curtius Pelop. II p. 179 sq. Contra Bursian. Geogr. II p. 176, 2 hoc in septentrionali tantum introitu factum esse contendit, ceteroqui scriptoris errorem statuendum esse, qui ipse haec loca non spectaverit. Cf. paulo post et 13, 4 adn. — *ὑλώδης* cet. Cf. 29, 3. — *μέγεθος . . . πεντεκαίδεκα σταδίους. Μέγεθος* hic longitudinem, non circuitum esse docent Stanhop. Plataear. planit. p. 95. Bloomf. Arn., hic, si de Sphagia seu Sparica agatur. Sed idem, quoniam re vera haec insula in longitudinem amplius duobus miliariis geographicis et dimidio pateat, multo plura quam quindecim stadia effici et ea quoque de causa hanc insulam intellegi vix posse addit, sed suspicatur esse nunc Vetus Castrum Avarini. Longitudo tamen insulae ab aliis aliter definitur; nam Bellino teste apud St. Vincentium in parte physica eius libri, qui inscribitur „Expédition scientifique de Morée", p. 50 est multo minor („d'une lieue et un quart"). Cf. etiam Stanhop. l. d. Curtius l. d. insulam pro Thucy-

7 περὶ πεντεκαίδεκα σταδίους μάλιστα. τοὺς μὲν
οὖν ἔσπλους ταῖς ναυσὶν ἀντιπρῴροις βύζην κλῄ-
σειν ἔμελλον· τὴν δὲ νῆσον ταύτην φοβούμενοι
μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται, ὁπλί-
τας διεβίβασαν ἐς αὐτὴν καὶ παρὰ τὴν ἤπειρον
8 ἄλλους ἔταξαν· οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε
νῆσον πολεμίαν ἔσεσθαι τήν τε ἤπειρον ἀπόβασιν
οὐκ ἔχουσαν (τὰ γὰρ αὐτῆς τῆς Πύλου ἔξω τοῦ
ἔσπλου πρὸς τὸ πέλαγος ἀλίμενα ὄντα οὐχ ἕξειν
ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς αὑτῶν), σφεῖς
δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύνου ἐκπολιορκή-
σειν τὸ χωρίον κατὰ τὸ εἰκός, σίτου τε οὐκ ἐνόν-
9 τος καὶ δι' ὀλίγης παρασκευῆς κατειλημμένον. ὡς
δ' ἐδόκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον ἐς τὴν
νῆσον τοὺς ὁπλίτας ἀποκληρώσαντες ἀπὸ πάντων
τῶν λόχων. καὶ διέβησαν μὲν καὶ ἄλλοι πρότε-

§ 8. **τοὺς αὑτῶν.** In optimis libris mss. **τοὺς αὐτῶν.** Cf adn. I 17, 1.

κατειλημμένον codd. praeter Lugd. M. Y. b., qui **προκατειλημμένον** habent. Ceterum cf. adn.

didis ratione novem fere stadiis nunc maiorem esse docet eamque discrepantiam a loci mutatione repetit. Bursian. vero l. d. hic quoque scriptoris errorem statuit. — **περὶ . . . μάλιστα.** Haec ita inter se coniuncta sunt, ut **ὀλίγον ἐς** IV 124, 1, **ἐς διακοσίους τινάς** VIII 21. Cf. ibi adn. et Xen. Cyr. II 1, 6. Simillime Plat. Crit. 112 e **περὶ δύο μάλιστα ὄντας μυριάδας.** Cf. adn. I 13, 3.

§ 7. **ἀντιπρῴροις,** i. e. **ὥστε εἶναι ἀντιπρῴρους, στήσαντες αὐτὰς ἀντιπρῴρους.** Cf. Diod. c. 61. Contra **τριήρεσι πλαγίαις** simili consilio usi sunt Syracusani VII 59. — **τὴν νῆσον . . . ἐξ αὐτῆς.** De hoc attractionis genere cf. adn. II 42, 4.

§ 8. **ἔσεσθαι.** Ad hunc infinitivum et eos, qui secuntur, e superiore **φοβούμενοι** repete **ἐνόμιζον.** Cf. adn. 3, 2. — **τὰ γὰρ . . . ἕξειν.** Nam ipsius Pyli oram, cum excepto portus introitu, quatenus altum spectaret, importuosa esset, non habituram (praebituram) esse (quidquam). Portus Pyli habebat quidem introitum ab alto (ostium septentrionale § 6 adn.), sed ipse in sinum (Avarini) spectabat. Cf. adn. 13, 1. — **δι' ὀλίγης κατειλημμένον.** „Cum non sat diu occupatum esset, ut bene munitum esse posset.“ Dobr. Molestissimum est servata codd. scriptura **κατειλημμένον** in tanta vicinia ipsius nominis **αὐτοῦ** (**τοῦ χωρίου**) subaudire (cf. II 8, 4. IV 41, 4), praesertim cum genetivus **σίτου** praecesserit. Quare recepimus Dobraei emendationem. Cf. 20, 3.

§ 9. **καὶ διεβίβαζον.** De **καί** cf. adn. II 93, 4. — **ἀπὸ πάντων τῶν λόχων.** Hos

ρον κατὰ διαδοχήν, οἱ δὲ τελευταῖοι καὶ ἐγκαταληφθέντες εἴκοσι καὶ τετρακόσιοι ἦσαν, καὶ Εἵλωτες οἱ περὶ αὐτούς· ἦρχε δὲ αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

Δημοσθένης δὲ ὁ ἐν Πύλῳ φρούραρχος ἀντιπαρασκευάζεται.

9. *Δημοσθένης δὲ ὁρῶν τοὺς Λακεδαιμονίους* 1
μέλλοντας προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτός, καὶ τὰς τριήρεις αἳ περιῆσαν αὐτῷ ἀπὸ τῶν καταλειφθεισῶν ἀνασπάσας ὑπὸ τὸ τείχισμα προσεσταύρωσε, καὶ τοὺς ναύτας

§ 9. *ἐγκαταλειφθέντες* It. Vat. M. Cf. adn.
Μολόβρου. Μολοβροῦ Cass. Aug. Ven. It. Vat. al. Sed vulgata ad proprium ab appellativo distinguendum videtur servanda. Ceterum cf. de hoc nomine Boeckh. Corp. Inscript. I p. 698.
Cap. 9. § 1. *αἵπερ ἦσαν* codd. Cf. adn.

quinque fuisse male dicit schol. ad h. l., quocum conf. schol. Aristoph. Lysistr. 454. Septem praeter Sciritas pugnasse audiemus V 68, 3. Cf. de omni re Muell. Dor. II p. 233. Thirlw. Hist. Gr. vol. I extr. Haas. ad Xen. de Rep. Laced. p. 204. — *ἐγκαταληφθέντες*, illic deprehensi, Haas. Si ita intellegitur, concidunt dubitationes Kruegeri, qui vulgatum *ἐγκαταλειφθέντες* tuitus est ad Dion. p. 296 et contra Goellerum in Comment. antiqu. stud. a. 1842 m. Febr. p. 98. — *εἴκοσι καὶ τετρακόσιοι.* Idem repetitur 38, 5. Cf. Plut. Nic. c. 7. — *Εἵλωτες οἱ περὶ αὐτούς.* Horum numerum fortasse ex eis, quae de pugna Plataeensi Herodot. IX 28 leguntur, definiri posse existimat Dukas. Cf. Mor. ad Isocr. Pan. c. 25. At qui apud Herodotum commemorantur, erant levis armaturae milites; qui autem in Sphacteria erant, eos famulos fuisse Spartiatarum et inde, quod c. 16 *θεραπόντων* mentio fit, et quod c. 34 sqq. nihil de levis armaturae militibus et auxilio, quod Helotae Spartiatis tulerint, legitur, perspicuum est. Cf. etiam Visch. Mus. Helvet. I p. 393 adn.

Cap. 9. § 1. *τὰς τριήρεις.* Tres. Cf. 5, 2. 8, 3. — *αἳ περιῆσαν.* Recepimus Classeni emendationem, quod significandae sunt naves, quae de relictis (5, 2) supererant, postquam duae Zacynthum missae sunt (8, 3). Cum hae quoque in relictarum numero essent, non sufficiebat dicere illas ex relictis fuisse. — *προσεσταύρωσε. Προεσταύρωσε* coniecit Bloomf. comparans VI 75, 1 al. et de re Herod. IX 97 *τάς τε νέας ἀνείρυσαν καὶ περιεβάλοντο ἕρκος καὶ λίθων καὶ ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας περὶ τὸ ἕρκος κατέπηξαν.* In Stephani Thesauro exemplis antiquioribus verbo *προσσταυροῦν* carentibus t. I p. 1805 e Thuc. l. IV excitatur *προσταυροῦσι τὰς ναῦς*, quod non potest nisi huc spectare. Interpretatur auctor vallis seu palis (in terram) depactis praemunire, quod alibi (VII 25, 5) *σταυροὺς πρὸ τῶν νεῶν καταπηγνύναι* Thuc. dicat. Sed ipsae quoque naves pro munimento videntur fuisse, cui firmandi causa vallum adiecerunt. Huic interpretationi favet Appian. Bell. civ. V 33 *τὰς τάφρους προσεσταύρουν.* — *τοὺς ναύ-*

ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις
ταῖς πολλαῖς**· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ
πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσση-
νίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον
παραγενόμενοι. ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων
ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν
2 ἄλλων. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων
καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ
ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προει-
πὼν ἀμύνασθαι τὸν πεζόν, ἢν προσβάλῃ· αὐτὸς
δὲ ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας καὶ

§ 2. *προσβάλλη* Vat. Aug. Cass. Cl. Mosqu. Ven.

τας, remiges, non classiarios, qui iam erant armati. Cf. VII 1, 3. VIII 17, 1. Liv. XXVI 17. — *ἀσπίσι τε.* Non possunt *τε* — *καί* particulis iuncta esse *φαύλαις* et *οἰσυΐναις* et frustra ad tuendam hanc enodandae difficultatis rationem III 56, 3. IV 115, 1 afferuntur, ubi vide adn. Neque magis probabile est remiges eis solis armis instructos esse, quae ad arcenda, non ad infligenda vulnera idonea essent. Quare lacuna statuenda est. Excidisse potest *καὶ ἀκοντίοις*. — *οἰσυΐναις.* De his clipeis salignis et aliis vimineis, antiquissimis et in Asia usitatissimis, vide Bloomf. et Herm. ad Luci. de Hist. conscr. p. 153. — *ὅπλα* sunt gravis armaturae. Cf. VI 72, 4. VIII 97, 1. Quibus qui non instructi sunt infra *ἄοπλοι* vocantur. — *λῃστρικῆς.* Non verbo piratica, sed praedatoria reddi iubet Bloomf. Haec tamen apud veteres parum distinguuntur; Livius certe easdem naves et piraticas et praedatorias vocat XXXIV 32. 36. Ceterum cf. adn. III 51, 2. — *κέλητος. Μικρὸν καὶ στενὸν πλοῖον* explicat schol. Cf. IV 120, 2. VIII 38, 1 atque de deminutivo I 53, 1. — *οἳ ἔτυχον παραγενόμενοι.* Eo non forte delati sunt, sed praedandi consilio advenerunt, postquam Athenienses ibi consedise cognoverunt (cf. 41, 2); sed adventus eorum tum accidit, cum Athenienses eorum auxilio uti possent. Neque cogitari potest casu quodam tantam armorum copiam (remiges quadringenti fere fuerunt. Cf. Boeckh. Oec. civ. I p. 388) in Messeniorum navibus fuisse, sed ea in Demosthenis usum videntur comparasse. Haud facile Classeno credas unam navem (sic enim *τριακοντόρου καὶ κέλητος* intellegit) eamque parvam praeter hoc armorum onus quadraginta milites gravis armaturae capere potuisse. — *ὁπλῖται τῶν Μεσσηνίων. Σφενδονήτας* Messeniorum duce Comone apud Sphacteriam opem tulisse Atheniensibus dicit Paus. IV 26.

§ 2. *ἐπὶ τὰ τετειχισμένα . . . τὴν ἤπειρον*, ubi locus maxime munitus et tutus erat, (id est) ad continentem versus. — *ἐχυρά* Thuc. videtur addidisse, quia haec pars non solum manu, sed etiam natura (cf. 3, 2. 4, 3) munita erat; nam opera etiam *τὰ κατὰ τὸν λιμένα* munitissima erant.

τοξότας ὀλίγους ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν
θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πει-
ράσειν ἀποβαίνειν ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη
πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους
ταύτῃ ἀσθενεστάτου ὄντος ἐπισπάσεσθαι αὐτοὺς
ἡγεῖτο [προθυμήσεσθαι]· οὔτε γὰρ αὐτοὶ ἐλπίζοντές 3
ποτε ναυσὶ κρατηθήσεσθαι οὐκ ἰσχυρὸν ἐτείχιζον,
ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν ἁλώσιμον
τὸ χωρίον γίγνεσθαι. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν 4
τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας ὡς
εἴρξων, ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

ἐπισπάσασθαι codd. praeter D., qui ἐπισπᾶσθαι habet. Cf. adn.

Cf. 13, 1. — ἔξω τοῦ τείχους. Munitio igitur non usque ad ipsam oram maris pertinebat. — πρὸς τὸ πέλαγος. Distinguitur a superiore θάλασσα. Cf. adn. 8, 8. 13, 1. — ἐπισπάσεσθαι ... [προθυμήσεσθαι]. Quod in codd. vulgatur sic interpretatur Stephanus: putabat fore, ut hoc eos ad audendum aliquid alliceret, eumque secutus est Class. Sed neque nudus infin. aoristi futuri vim habet (cf. Stahl. Quaest. gram. p. 2 sqq.) neque ex ἐπισπᾶσθαι verbo infinitivus futuri suspensus esse potest (cf. l. d. p. 8 sq.). Praeterea durissimum est ex genetivo absoluto accusativum subiecti repetere. Cur enim Thucydidem scribere noluisse credamus quod maxime in promptu erat τὸ τεῖχος ταύτῃ ἀσθενέστατον ὄν? Quarum difficultatum duas tollit Bloomf. coniectura ἐπισπάσεσθαι, ut medii futurum positum sit pro futuro passivo; remanet infin. futuri προθυμήσεσθαι contra grammaticae leges ex verbo ἐπισπᾶσθαι aptus. Neque magis licet ἐπισπάσεσθαι e verbo προθυμεῖσθαι suspendere. Ac ne sana quidem sententia sic evadit. Nemo enim contendere potest, ut alliciatur, quoniam illud proprio, hoc alieno studio fit. Quam repugnantiam effugere voluerunt vertentes paratos fore, quae debilior notio a verbo προθυμεῖσθαι aliena est. Cum autem restituto ἐπισπάσεσθαι omnia recte se habeant, modo προθυμήσεσθαι omiseris, hoc Dobraeum secuti pro illius interpretamento habemus. Verte igitur: ubi, cum murus hic ipsis infirmissimus esset, fore putabat ut allicerentur. Madvig., qui in Adv. crit. I p. 318 ἐπιβήσεσθαι ... προθυμήσεσθαι coniecit, exempla infinitivi fut. ex προθυμεῖσθαι verbo pendentis afferre debebat. Cf. Stahl. l. d. p. 8 sq.

§ 3. οὔτε γὰρ ... γίγνεσθαι. Non enim firmius (illam partem) muniverant, existimantes neque se umquam navibus devictum iri et ab illis, si per vim in terram escenderent, castellum facile capi posse. Ita bene Haack. „Recte dici potest βιάζεσθαί τι, ut IV 9, 3. 11, 4 τὴν ἀπόβασιν, ibid. 36, 1 τὴν ἔφοδον, VII 22, 2 τὸν ἔσπλουν, 70, 7 τὸν ἔκπλουν.“ Duk. ad VII 69, 4. De ἐλπίζ. vid. adn. I 1, 1. De inf. praes. γίγνεσθαι cf. adn. III 92, 4.

§ 4. κατὰ τοῦτο, hac ratione, sive ea de causa. Cf. V 65, 3. VIII 5, 5. 66, 4. Aristoph. Nub. 239. Pac. 192. Av. 916.

1 10. „Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κιν-
δύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς
βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ
περιεστὸς ἡμᾶς δεινόν, μᾶλλον ἢ ἀπερισκέπτως
εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις ⟨ὡς⟩ καὶ
ἐκ τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς ἀνάγκην
ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα
2 κινδύνου τοῦ ταχίστου προσδεῖται. ἐγὼ δὲ καὶ τὰ
πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε

λόγος αὐτοῦ, ᾧ παρακελεύεται τοῖς στρατιώταις.

Cap. **10.** § 1. *περιεστώς* m., sed Pal. Gr. Laur. *α*. Bekk. *περιεστός*. Ita taciti quidem apud Bekk. in edit. stereot. Aug. It. Vat.; sed in duobus postremis certe ita non legi maioribus eiusdem viri exemplis videtur demonstrari. Ceterum cf. sd. III 9, 1.

μᾶλλον ἤ Pal. Marc., sed *ἤ* om. Cass. Aug. Cl. It. Vat. M. Gr. Lugd. Laur. E. m., et *δέ* pro eo praebent Ven. F. C. Reg. W. X. Y. Z. al.

χωρῆσαι. *χωρήσας* Cl. F. H. C. I. Laur. Z. al., quod placuit Reiskio et Arn. Sed cf. ed. mai.

Cap. **10.** § 1. *Ἄνδρες οἱ* cet. De nominat. cf. Krueg. Gr. § 45, 2 adn. 7. — *ξυναράμενοι ... κινδύνου*. Cf. Matth. Gr. § 325, 1 et infra V 28, 2. *Ξυναίρεσθαι κίνδυνον* legimus II 71, 2. — *ἐκλογιζόμενος*. Non differre a simplici, nisi quod paulo gravius est, apparet ex I 70, 1. 80, 2. II 40, 3. — *μᾶλλον ἤ*. Qui *μᾶλλον δέ* praeferunt, repetunt ex superioribus *βουλέσθω ἕκαστος*, posterius ex contrario *μηδείς*. Cf. Krueg. ad Dion. p. 116 interpr. Tac. Histor. II 52. Matth. Gr. § 562 adn. 2 et § 634, 3. Sed aliter *μᾶλλον δέ* dictum est 83, 5. III 82, 2; contra simillime atque hic *μᾶλλον ἤ* post negationem legitur I 73, 3. 91, 2. III 46, 4. IV 62, 2. 78, 3. V 110, 2. VII 19, 5. 25, 9. 36, 3. 48, 4. 67, 4. 69, 3. 81, 5. VIII 8, 3. 48, 5. 91, 2. — *ἀπερισκέπτως*, inconsulto, i. e. periculis non reputatis. — *καὶ ἐκ τούτων ἂν περιγενόμενος*, i. e. *ἐπεί, εἰ ὁμόσε χωρήσειε, καὶ ἐκ τούτων ἂν περιγένοιτο*. De *ἄν* cf. adn. III 37, 4. *Περιγίγνεσθαι ἔκ τινος*, evadere seu emergere e re, iam I 141, 5. II 49, 7 lectum esse adnotat Bloomf. Cum causa adiungatur, qua confisi milites hostibus obviam ire iubentur, patet haec verba ad illorum cogitationem referenda esse pariter atque supra vetantur instans periculum reputantes cauti esse. Quare *ὡς* addendum erat. Hoc confirmat Dio Cass. fragm. 55, 7 *αἱ μὲν γὰρ εὐπραγίαι σφάλλουσιν ἔστιν ὅτε τοὺς ἀπερισκέπτως τι δι' αὐτὰς ἐλπίσαντας ὡς καὶ αὖθις κρατήσοντας*, qui hunc locum ante oculos videtur habuisse. — *κινδύνου ... προσδεῖται*, periclitatione celerrima opus habent, Steph.

§ 2. *πρὸς ἡμῶν ὄντα*] *ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα*. Cf. adn. II 86, 5. — *ἐθέλωμέν τε*. Pro *τε* nonnulli frustra *γε* scribi iusserunt. Cf. adn. I 16 et cogita in proximis plenam orationem esse *καὶ ἢν ἐθέλωμεν*. Cf. adn. III 56, 3. —

μεῖναι καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες τα ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. τοῦ 3
τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων μὲν ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὂν εὔπορον ἔσται

§ 3. ὃ abest a libris mss. paene omnibus, sed legitur etiam apud Dionys. p. 801. Nisi corruptela hic statuenda est (cf. adn.), eo carere non possumus. Cf. adn. III 37, 2. Omissionem quidem eius, si deinde *μενόντων μέν* ex Pal. et Dionys. scripseris (reliqui codd. *μέν* om.), excusari posse putat Arn. in ed. 2, quod ita hoc enuntiatum simile foret alteri I 40, 4; sed ibi *γε* sententias iungit. Cf. adn. III 63, 2. Hofmanus deleto ὃ sic interpungens: *τὸ δυσέμβατον ἡμέτερον, νομίζω, μενόντων ἡμῶν ξύμμαχον γίγνεται*, nec *νομίζω*, ut *δοκῶ* et *οἶμαι* (cf. Matth. Gr. § 630 g), medio sermoni interponi demonstravit et *ἡμέτερον* cum verbis *μενόντων ἡμῶν ξύμμαχον* iunctum inutile fieri parum perpendit.

τῷ πλήθει . . . καταπλαγέντες. Haec propter dativum frustra a Dion. Hal. p. 800 reprehensa sunt. Cf. I 81, 6. III 113, 5. V 65, 5. VI 34, 6. Krueg. Gr. § 46, 10 adn. 1.

§ 3. *τοῦ τε γὰρ χωρίου . . . νομίζω.* His postea respondent verba *τό τε πλῆθος . . . φοβεῖσθαι.* Quoniam enim *τὰ ὑπάρχοντα κρείσσω* plurali numero praecesserunt, plura commoda sequantur necesse est. Secundum haec igitur interpunctionem loci constituimus. — *δυσέμβατον.* Cum de escensionis et accessus difficultate agatur, *δυσέκβατον* aut *δυσεπίβατον* forsitan scriptum malis, sed *δυσέμβατον* fere idem atque hoc videtur valere. — *ὑποχωρήσασι δὲ . . . ἔσται*] *ὑποχωρησάντων δὲ* [*ἡμῶν*], *καίπερ δυσέμβατον ὄν, εὐεπίβατον γενήσεται τοῖς Λακεδαιμονίοις.* Schol. Hanc debere esse sententiam omnes interpretes inter se consentiunt, sed dativum *ὑποχωρήσασι* quomodo explicent non habent. Dionys., qui p. 801 praeter praesentis *γίγνεται* futuro *ἔσται* respondentis inconcinnitatem (de qua cf. adn. III 92, 4) dativum *ὑποχωρήσασι* vituperat, pro quo genetivus convenientior fuerit, haec tria vocabula in suo libro habuisse patet. Quid praeterea legerit, ex allatis apud eum Thucydidis verbis satis certo cognosci nequit (cf. adn. III 82, 1. 4). Omnia sic a Thucydide profecta esse aegre nobis persuademus, sed hic vetustissimum esse mendum suspicamur, cui cum certa fide sanando impares simus. Vix enim Class. cuiquam probaverit hic dativum ex similitudine eorum, qui I 10, 5. 24, 1. II 62, 3. IV 56, 1. 120, 2 leguntur, explicari posse. Ac ne in superioribus quidem omnia recte se habere iudicamus. Male enim pro videndi (ὁρῶ) causa opinio (*νομίζω*) infertur, quippe quae minus certam cognitionem efficiat. Deinde non solum nimiam verbositatem sententiae *ἡμέτερον νομίζω ὃ μενόντων μὲν ἡμῶν ξύμμαχον γίγνεται* iure incusaveris, sed etiam quod loci difficultatem illis commodo esse (nam *ἡμέτερον* idem valere putatur atque *πρὸς ἡμῶν*) ita exponitur, ut hoc cum exceptione quadam (*μενόντων μὲν ἡμῶν*) fieri dicatur. Minus enim sic explicatur quam propositum est. Omnes offensiones sublatae essent, si scriptum foret *τοῦ τε*

μηδενὸς κωλύοντος καὶ τὸν πολέμιον δεινότερον ἕξομεν μὴ ῥᾳδίως αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἢν καὶ ὑφ' ἡμῶν βιάζηται (ἐπὶ γὰρ ταῖς ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ ἐν
4 *τῷ ἴσῳ ἤδη), τό τε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται καίπερ πολὺ ὂν ἀπορίᾳ τῆς προσορμίσεως, καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ ἐν τῇ θαλάσσῃ*

ῥᾳδίως Cass. Aug. Cl. Pal. Vat. M. H. Gr. B. Vulgo et Bekk. *ῥᾳδίας*. Cf. adn.

γὰρ χωρίον τὸ δυσέμβατον [ἡμέτερον νομίζω ὃ] μενόντων μὲν ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ χαλεπόν (καὶ γὰρ εὔπορον ἔσται . . . ἤδη), τό τε πλῆθος κ. τ. λ., de quo emendandi conatu cf. Mus. Rhen. XXII p. 143. Lacunam post *ὑποχωρήσασι δέ* statuit Herwerd. Stud. Thuc. p. 50, quam verbis *ἐναντίον· ἐκείνοις γὰρ* explet. — *τὸν πολέμιον.* „Dionysius Hal. [p. 798] inter ea, quae Thucydidi peculiaria sunt, hoc quoque recenset, quod singularibus pro pluralibus utitur, ut *ὁ πολέμιος* pro *οἱ πολέμιοι*, *ὁ Συρακόσιος*, *ὁ Ἀθηναῖος* [VI 78] pro *οἱ Συρακόσιοι*, *οἱ Ἀθηναῖοι*. Sed H. Stephanus . . . hoc Thucydidi peculiare esse negat et alios quoque scriptores Graecos eorumque imitatione Latinos ita loqui ostendit.“ Duk. Cf. Krueg. Gr. § 44, 1 adn. 2. Apud Latinos saepe sic legi nomen hostis notissimum est. Cf. Drak. ad Liv. V 50. Nec aliter nos utimur vocabulo der Feind, quod idem fit in aliis linguis recentioribus. — *μὴ ῥᾳδίως . . . οὔσης τῆς ἀναχωρήσεως.* Similiter Sal. Iug. 94 uti prospectus nisusque per saxa *facilius* foret. Cf. VII 4, 4 *ῥᾷον αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι*, 28, 1 *ἥ τε τῶν ἐπιτηδείων κομιδὴ . . . διὰ τῆς Δεκελείας θᾶσσον οὖσα*, Bernh. Synt. p. 337. adn. III 30, 2. — *ἢν καί*, si etiam, si insuper. — *ἐπὶ γὰρ . . . ἴσῳ ἤδη.* Sententiarum cohaerentia haec est: Hostem propterea, quod, si a nobis urgeatur, facile se recipere non poterit, acrius pugnantem habebimus. (Et acrius pugnare poterit, seu Neque hoc mirum est.) Etenim quamquam, quamdiu in navibus sunt, facillime propulsari possunt, in terram egressi nobis iam pares futuri sunt.

§ 4. *κατ' ὀλίγον*, distributive: immer nur in geringer Zahl. Cf. V 9, 2. VI 34, 4. — *καὶ οὐκ ἐν γῇ . . . νεῶν.* *Στρατός* articulo carens praedicatum est, ad quod aut ex superioribus *τὸ πλῆθος αὐτῶν* aut ex ipso praedicato subiectum *ὁ στρατὸς αὐτῶν* repetendum. „Optime Heilm. vim verborum definit: ac non in terra est exercitus, ubi [rectius qui] sit ex aequo [in aequa condicione], seu cum cetera sint paria, maior, sed in navibus.“ Kistem. De verbis *ἐκ τοῦ ὁμοίου* cf. adn. II 62, 5, de *ἀπό* praepositione Matth. Gr. § 573 p. 1328. — *αἷς . . . ξυμβαίνειν*, quibus mul-

ξυμβῆναι. ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους 5 ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει, καὶ ἅμα ἀξιῶ ὑμᾶς, Ἀθηναίους ὄντας καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν ὅτι, εἴ τις ὑπομένοι καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῦν μεῖναί τε καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σῴζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

οἱ Λακεδαιμόνιοι ἐκ τε γῆς καὶ ἐκ θαλάσσης προσβάλλον-

11. Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. 1 οἱ δὲ Λακεδαιμόνιοι ἄραντες τῷ τε κατὰ γῆν 2

tae opportunitates in mari contingant est necesse. Port. Cogita: ut propositum assequantur, vel simile enuntiatum. Cf. schol. *αἷστισι ναυσὶ πολλῶν χρεία τῶν ἐπιτηδείων, οἷον ἀνέμου καὶ χωρίων φιλανθρώπων καὶ εἰρεσίας εὐκαίρου, ἵνα δυνηθῶσιν ἀντιταχθῆναι τοῖς ἐν τῇ γῇ.* Nam *καίρια* valere posse casus, periculosa, dicendi genere *καιρία πληγή* non videtur demonstrari. Atque quominus hanc vim vocabulo tribuamus, *δεῖ* obstat.

§ 5. *ἀντιπάλους*. Cf. adn. III 49. 1. — *τῷ ἡμετέρῳ πλήθει*] *ἔξεστι λέγειν τὸ πλῆθος καὶ ἐπὶ ὀλίγων.* Schol. Cf. V 6. 3. VI 104, 3. — *ῥοθίου*] *ῥόθιόν ἐστιν ὁ ἦχος ὁ ἀπὸ* (haec duo vocabula bene interponuntur in Aug.) *τῆς εἰρεσίας.* Schol. Cf. Harpocr. p. 312. Eustath. in Hom. Od. V p. 1540. Recte igitur fluctuum illisorum strepitu Port. — *νεῶν δεινότητος κατάπλου*, i. e. *δεινότητος κατάπλου νεῶν.* De tribus genetivis cf. adn. I 143, 2. — *οὐκ ἄν ποτε βιάζοιτο.* Nonnulli supplent *ὑποχωρεῖν.* Sed superiora potius per notam attractionem (de qua vid. adnot. II 21, 1) dicta sunt pro his: *ἐπισταμένους ὅτι ἡ ἀπόβασις . . . οὐκ ἂν ποτε βιάζοιτο*, et *βιάζεσθαι*, ut non raro (cf. I 2, 1. 77, 4. VII 84, 2), passivum est et valet vi perfici, erzwungen werden, sicut active 9, 3 legimus *βιαζομένοις τὴν ἀπόβασιν*, ubi cf. adn. — *καὶ αὐτούς* bene Haack. verbis ipsosquoque videtur exprimere, ut respiciatur ad Demosthenem litus non relicturum. *Καὶ αὐτοῦ* coniecit Krueg., sed in hac coniectura *καί* parum placet. — *ῥαχίαν*] *ὅτι ῥαχία ἐστὶ πετρώδης τόπος περὶ ὃν περιρρήγνυται ἡ θάλασσα.* Schol., qui minus apta addit Suidas et Photius: *ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτὴν καὶ τὸν τόπον αὐτόν, ᾧ προσαράττει τὸ κῦμα, καὶ Θουκυδίδης οὕτως.* Cf. Bloomf. ad Aesch. Prom. 738.

Cap. **11.** § 1. *ἐπικαταβάντες.* Hoc Dukas propter verba 9, 4 vult significari *προσεπικαταβῆναι τὸ λοιπὸν (πρὸς τὴν θάλασσαν).* Non confirmatur tamen haec explicatio aliis locis, ubi *ἐπικαταβαίνειν* legitur, VI 97, 5. VII 23, 1. 35, 2. 84, 5, unde intellegitur esse descendere ad locum. Cf. Steph. Thes.

§ 2. *τῷ στρατῷ.* Cf. adn.

σι, καὶ Βρασίδας τοὺς ἄλλους ἐπισπέρχει.

στρατῷ προσέβαλλον τῷ τειχίσματι καὶ ταῖς ναυ-
σὶν ἅμα οὔσαις τεσσαράκοντα καὶ τρισί· ναύ-
αρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατη-
σικλέους, Σπαρτιάτης. προσέβαλλε δὲ ᾗπερ ὁ
3 Δημοσθένης προσεδέχετο. καὶ οἱ μὲν Ἀθηναῖοι
ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύ-
νοντο· οἱ δὲ κατ' ὀλίγας ναῦς διελόμενοι, διότι
οὐκ ἦν πλείοσι προσσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ
μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ
χρώμενοι καὶ παρακελευσμῷ, εἴ πως ὠσάμενοι
4 ἕλοιεν τὸ τείχισμα. πάντων δὲ φανερώτατος Βρα-
σίδας ἐγένετο. τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ
χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυ-
βερνήτας, εἴ πῃ καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν,
ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ
ξυντρίψωσιν, ἐβόα λέγων ὡς οὐκ εἰκὸς εἴη ξύλων

8, 3. — *ταῖς ναυσὶν ... τεσσαράκοντα καὶ τρισί.* Si hic numerus germanus est, ex illis LX navibus, quas Pylum venisse 8, 2 (ubi cf. adn.) legimus, nonnullae ita videntur in illo cursu afflictatae esse, ut eas adhibere ad impetum nequirent. Quamquam, si haec sententia sit, *πλοΐμοις* additum cupias. Multo minus noluisse Lacedaemonios nonnullis navibus ob loci angustiam uti conicias, cum ex articulo ab eis omnes, quas possent, in pugnam productas esse appareat. „Ego *ἑξήκοντα καὶ πέντε* verum numerum esse arbitror; nam Thucydides [c. 16] sexaginta triremes a Lacedaemoniis ex pacto traditas esse dicens quinque ab Atheniensibus antea in pugna navali captas [c. 14] non potest velle comprehendere. Hae igitur quinque illas, quae super sexaginta requiruntur, efficient.“ Bloomf. ad c. 8, qui has quinque prioribus sexaginta, cum Pylum navigarent, se adiunxisse suspicatur; sed quoniam hac de re supra nihil legitur, eas potius postea aliunde advenisse censere debebat. Tota autem eius disputatio ideo minus certa est, quia 16, 3 *περί* ad *ἑξήκοντα* appositum legitur et quod Lacedaemonii praeter eas naves, quibus pugnassent, *τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι μακραί,* tradere iussi sunt 16, 1. Quare certe in minore mutatione *ἑξήκοντα καὶ τρισί* acquiescere poterimus. — *Θρασυμηλίδας.* Thrasymedes apud Diod. XII 61.

§ 3. *ἐν τῷ μέρει,* per vices, ut VIII 86, 3. Cf. Bloomf. ad Aesch. Agam. 335. Similiter *κατὰ μέρος* III 49, 3. IV 26, 3. — *ὠσάμενοι,* proruentes, irrumpentes. Cf. IV 35, 3. 96, 4. VI 70, 2.

§ 4. *φανερώτατος Βρασίδας.* Cf. Diod. XII 62. — *ἀποκνοῦντας.* Cf. adn. III 20, 2. — *φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν,* navium causa cavebant, ne eas confringerent. De similibus genetivis vide adn. I 77, 3. II 62, 3. 65, 4. Frustra Madvig. Adv. crit. I p. 318 *τῶν νεῶν ξύντριψιν* coniecit. — *λέγων*

φειδομένους τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιιδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι.

τοῦ αὐτοῦ Βρασίδου μεγίστη ἀνδρεία. οἱ Λακεδαιμόνιοι ἄπρακτοι γίγνονται.

12. Καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπ- 1
έσπερχε καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραυματισθεὶς πολλὰ ἐλιποψύχησέ τε καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν οἱ Ἀθηναῖοι ἀνελόμενοι ὕστερον

Cap. **12.** § 1. *ἐλιποψύχησε* Pal. Ang. M. Gr. b; reliqui *ἐλειποψύχησε* vel *ἐλειποθύμησε*. Cf. Soph. fragm. 440.

